κύτος, φωνῆς ἐστὶ μίμημα. λέγει δὲ καὶ Ἄλίβαντα πάλιν τινὰ εἶναι ποταμὸν, ἀπὸ τοῦ ἅπαντα καταξηραίνειν, καὶ μηδὲ λιβάδα ἔχειν.

Κωλὴν, ὄνομα κύριον· παρὰ τὸ κῶλον, ὃ σημαίνει τὸ ὀστοῦν· διὰ τὸ ἰσχυρὸν τοῦ ἀνδρός· στρατηγὸς γὰρ ἦν.

Κῶλα, κυρίως ἐπὶ τῶν μελοποιῶν· μεταφορικῶς δὲ καὶ ἐπὶ τῶν πεζολόγων, κώλοις μὴ χρωμένων· καὶ ἰσόκωλα δὲ λέγουσιν οἱ λογογράφοι.

Κωλιάδος Ἀφροδίτης. Τυῤῥηνοῦ νικήσαντος Ἀθηναίους, ἐλήφθησαν αἰχμάλωτοι. μία γυνὴ τῶν Τυῤῥηνῶν ἐφίλησεν ἕνα, καὶ ἔλαβεν αὐτόν· καὶ φυγὼν, ἔκτισεν ἱερὸν Ἀφροδίτης κωλιάδος· ἀπὸ τοῦ λυθῆναι τὰ κῶλα. ἢ ἄλλου θύοντος ἥρπασε τὸ ὄρνεον τὸ κῶλον, καὶ ἐκεῖσε ἀπέθετο. ἔστι δὲ καὶ ποταμὸς τῆς Ἀττικῆς· ἐξ οὗ τὸ, Κωλιάδος γενετυλίδος, Ἀριστοφάνης.

* Κωλύω, τὸ ἐμποδίζομαι, οἱονεὶ τὰ κῶλα λύω.

Κωμάζειν, τὸ ποιῶς ὀρχεῖσθαι· ἐξ οὗ καὶ κῶμος εἶδος ὀρχήσεως· οἱ δὲ, μέλους. κῶμος ἐστὶ μεθυστικὸς αὐλὸς ἐγχρονίζων οἴνοις, καὶ κυμβάλοις καὶ αὐλοῖς καταθέλγων τοὺς δαιτυμόνας. κωμάζειν δὲ κυρίως, τὸ ἐπὶ τὸ κοιμᾶσθαι βαδίζειν. ἐκ τοῦ κῶμος, κωμάζω· κῶμος γὰρ ὁ καιρὸς ὁ ἀπὸ τῶν δείπνων πρὸς ὕπνον καλῶν. γίνεται δὲ παρὰ τὸ κῶ τὸ κοιμῶμαι· οὗ ὁ μέλλων, κάσω· ὅθεν καὶ κώμη τὸ χωρίον, ἡ κοιμητηρία καὶ ἀνάπαυσις ζώων τε καὶ ἀνθρώπων ἀπὸ τῶν ἀγρῶν.

551 Κῶμος, παρὰ τὸ αὐτὸ ῥῆμα· ἐμφαίνει γὰρ τὸν ἀπὸ δείπνου καὶ μέθης ἐπὶ τὸ κοιμηθῆναι βαδίζειν καιρόν· καὶ τὸ κωμάζειν τοὺς ἐρῶντας πρὸς τὰς ἐρωμένας· οἳ ἐπὶ τὸ συγκοιμᾶσθαι βαδίζουσι.

Κῶμα, ὁ ὕπνος, ἡ ληθώδης καταφορά. ἀπὸ τοῦ κοιμῶ κοιμήσω, γίνεται κοίμημα· συγκοπῇ, κοῖμα· καὶ τροπῇ τῆς οι εἰς ω, κῶμα. ἢ παρὰ τὸ κῶ τὸ κοιμῶμαι· τοὺς γὰρ τόπους οἱ παλαιοὶ κώμους ἐκάλουν· καὶ κῶμαι, ἐν αἷς ἔμελλον κοιμᾶσθαι. λέγεται καὶ κώμη τὸ χωρίον, ἀπὸ τοῦ χῶ τὸ χωρῶ χώμη καὶ κώμη, ἡ χωρητική.

Κωμῳδία, ζήτει εἰς τὸ τραγῳδία.

Κώνειον] Καί τε σὺ κωνείου βλαβόεν τεκμαίρεο πῶμα Κεινόποτον, Νίκανδρος. ἔνθα τὸ κώνειον παραπλήσιόν ἐστι τῷ καυλῷ τῆς λαπάθης· τὰ δὲ φύλλα, σελίνῳ ἀγρίῳ. λέγεται δὲ καὶ ὑπόπικρος· καλεῖται δὲ καὶ ἐφήμερον, διὰ τὴν ὀξύτητα τῆς ἀναιρέσεως. κώνειον δὲ αὐτὸ καλοῦσι διὰ τὸν γινόμενον εἰλιγμὸν καὶ σκότον τοῖς πίνουσι· τὸ γὰρ στρέψαι κωνῆσαι ἔλεγον οἱ παλαιοί· ἢ παρὰ τὸ καίνειν καὶ κόπτειν· ἢ παρὰ τὸ κοίμημα.

Κωνῆσαι, κυρίως τὸ κέραμον πισσῶσαι· κωνᾶν γὰρ τὸ στρέφειν. καὶ τοὺς βείμηκας κώνους λέγουσι· καὶ Ἀριστοφάνης δὲ ἐν Ταγηνισταῖς τὸ περιενείκειν κωνῆσαι λέγει.

Κῷνος, ἀντὶ τοῦ καὶ οἶνος, κατὰ συναλοιφήν· ὃ μετὰ τοῦ ι γράφεται. Ἀριστοφάνης Βατράχοις, Κῷνον κεράννυ γλυκύτατον: — ἀντὶ τοῦ καὶ οἶνον. Ὧρος ὁ Μιλήσιος.

Κῷος, σὺν τῷ ι γράφεται· ἐπειδὴ εὕρηται κατὰ διάστασιν. Καλλίμαχος, Τῷ ἴκελον τὸ γράμμα τὸ Κώϊον: — ἢ ὅτι τὰ εἰς ος κτητικὰ τῷ ι θέλει παραλήγεσθαι· χωρὶς τοῦ θηλυκός, ὁ τοῦ θήλεος· Λιβυκός, ὁ τῆς Λιβύης· ἁλυκός, ὁ τῆς θαλάσσης. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, Ἡροδότειος, Θηβαϊκός, πατρώϊος· οὕτως οὖν καὶ Κῷος.

Κώπη, ἡ τῶν ἐρετῶν· παρὰ τὸ κόπτειν τὸ ὕδωρ. λέγεται καὶ ἡ λαβὴ τοῦ ξίφους, ᾗ κόπτειν δυνάμεθα. κόπτω κοπτή· ἀναβιβασμῷ καὶ τροπῇ, κώπη. ἐκ τοῦ κόπτω, κόπη· τῆς θέσει μακρᾶς, γενομένης φύσει, ὡς ἀπὸ τοῦ κολλῶ κωλύω. καὶ κωπήεντα ξίφη, μελάνδετα, σιδηρόεντα· ἢ μέλανας λαβὰς ἔχοντα· ἔστι γὰρ ἡ λαβὴ δεσμός τις τοῦ ξίφους.

Κῶνος] κῶνος ἐστὶ τὸ στροβιλοειδὲς, τὸ ἀπὸ πλατείας βάσεως εἰς ὀξὺ λῆγον.

Κωρύκιον, εἴρηται εἰς τὸ Πλειστοῖο. ἐνταῦθα δὲ Κωρύκιόν ἐστι τόπος Λυκίας, ἐν ᾧ διάφορος κρόκος γίνεται· οἷον, Τοῦ δ' ἤτοι ἄνθος μὲν ὅσον πηχυῖον ὕπερθεν Χροιῇ κωρυκίῳ ἴκελον κρόκῳ ἐξεφαάνθη Καυλοῖσι διδύμοισι μετήορον: — ὅτι φησὶν ἡ γῆ ἀνέδωκε βοτάνας ἐκ τοῦ ἰχῶρος τοῦ Προμηθέως ἥπατος, ὃν ἀφῆκεν ὁ ἀετὸς ἐσθίων αὐτοῦ τὸ ἧπαρ ἐν τῷ Καυκάσῳ ὄρει. καὶ Ὀππιανὸς ἐν τρίτῳ Ἁλιευτικῶν, Πανὶ δὲ Κωρυκίῳ βυθίην παρακάτθεο τέχνην Παιδὶ τεῷ.

Κωρύκιον σπήλαιον ἐν Σικελίᾳ ἀκρωτήριον.

Κωτίλλων, πανούργως κολακεύων καὶ λέγων, ἀπό τινος ὀρνέου χελιδὼν καλουμένου· ἀφ' οὗ καὶ οἱ πολλὰ λαλοῦντες καὶ κολακεύοντες κωτίλοι λέγονται.

Κωφός, παρὰ τὸ κεκόφθαι καὶ ἀφαιρεῖσθαι τὴν ὄπα ἐν 552
τῷ ἀκούειν· καὶ ἐπὶ τοῦ ἀλάλου τὸ αὐτό. ἢ παρὰ τὸ ἐγκεκόφθαι τὴν ὄπα, κεκοπός τις ὢν, ὁ μήτε φθεγγόμενος, μήτε ἀκούων. τὸ ἔτυμον τῆς λέξεως ἁρμόζει ἄμφω. οὕτως Ἀπολλώνιος ἐν ταῖς γλώσσαις Ἡροδότου. ὅτι δὲ κωφὸς καὶ ὁ μὴ φθεγγόμενος, μαρτυρεῖται. ὁ αὐτὸς λέγεται ἐκ παραλλήλου εἶναι τὸ, Καὶ κωφοῦ ξυνίημι, καὶ οὐ λαλέοντος ἀκούω: — δύναται διαφέρειν. καὶ κωφὸν μὲν, τὸν κενὸν ὀπός, ὁ παντελῶς κενοπός· οὐ λαλέοντος δὲ, τὸν δυνάμενον λαλεῖν, οὐ λαλοῦντα δέ.

Κοπτός, πόλις Αἰγύπτου, εἰς ἣν φασὶ τὴν Ἶσιν ἀφικομένην, τὸν Ὄσιριν τὸν υἱὸν ἀναζητεῖν· μαθοῦσαν δὲ αὐτὸν διεσπαράχθαι, τὴν κόμην τὴν ἑαυτῆς ἐκκόψαι· παρ' ὃ καὶ Κοπτὸς ὠνόμασται ἡ πόλις. ἐδείκνυτο δὲ καὶ ὁ πλόκαμος τοῖς ἐπιδημοῦσιν αὐτόθι, ἄπιστόν τι τριχῶν πλῆθος, ὅσον ἐξ ἀνθρώπου κεφαλῆς εἰκάσαι.

Κλητῆρες] ἄνδρες ἦσαν δι' ὧν τὰς δίκας προκαλοῦνται οἱ δικαζόμενοι· καὶ κλητεύσεις, τὸ μαρτυρήσεις· ἔδει γὰρ παρεῖναί τινας ὥςπερ μάρτυρας τῆς προςκλήσεως· ἵνα μὴ ἀπρόςκλητοι αἱ δίκαι εἰς τὰ δικαστήρια εἰσάγωνται, μηδὲ ἐκλείπῃ τὴν δίκην ὁ κατηγορούμενος.

## Λ.

552 Λάμβδα τὸ στοιχεῖον, οἱονεὶ λάβα τὶ ὄν· παρὰ τὸ λείως βαίνειν ἐν τοῖς μέτροις, καὶ ἀσθενὲς εἶναι πρὸς τὸ μηκύνειν τὰς συλλαβάς.

Λάας, σημαίνει δύο, τὸ κύριον ὄνομα, καὶ τὸ προσηγορικὸν, τουτέστι τὸν λίθον· διαφέρει δὲ κατὰ δύο τρόπους, κατὰ χρόνον καὶ κατὰ κλίσιν. πῶς οὖν; τὸ μὲν κύριον Λάας, μακρὸν ἔχει τὸ α· τὸ δὲ προσηγορικὸν, βραχύ. καὶ τὸ μὲν κύριον, ἰσοσυλλάβως κλίνεται· ἀποβολῇ γὰρ τοῦ σ ποιεῖ τὴν γενικήν· οἷον, ὁ Λάας τοῦ Λάα· τὸ δὲ προσηγορικὸν, περιττοσυλλάβως· οἷον, λάας λάαος. καὶ ἐπεὶ τὸ κύριον μακροκατάληκτον καὶ δισύλλαβόν ἐστι καὶ πάντα φυλάττει τὰ τοῦ κανόνος, ὥςπερ τὸ Αἴας, διατί οὐκ ἐκλίθη διὰ τοῦ ντ; ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ συνῃρημένα τὴν τῶν ἐντελῶν

φυλάττει κλίσιν· καὶ γὰρ ἀπὸ τοῦ λάας τοῦ προσηγορικοῦ γίνεται τὸ κύριον· καὶ γὰρ ἐκεῖνος λιθογλύφος ἦν· διὰ τοῦτο ἀπὸ μεταφορᾶς τοῦ προσηγορικοῦ κέκληται τὸ κύριον. ἐκ γοῦν τῆς λάαος γενικῆς γίνεται εὐθεῖα ἑτέρα, λάαος· καὶ κλίνεται λαάου, ὥςπερ Καππάδοξ Καππάδοκος, ὁ Καππάδοκος τοῦ Καππαδόκου· τὸ γὰρ Καππαδόκης, μεταπλασμός· καὶ ὁ Θεολόγος, Τοὺς ἐμοὺς Καππαδόκας φησί. καὶ ὥςπερ Μενέλαος Μενέλας, καὶ Πτερέλαος Πτερέλας, οὕτως ἀπὸ τῆς λάαος εὐθείας γίνεται λάας κράσει τοῦ αο εἰς α μακρόν· καὶ κλίνεται λάου. καὶ ἐπεὶ τὴν κλίσιν τοῦ ἐντελοῦς ἐφύλαξε, διατί καὶ μὴ τὴν κατάληξιν αὐτοῦ; ἐπειδὴ τὸ ὄνομα Δωρικόν ἐστιν· οἱ δὲ Δωριεῖς εἰς α περατοῦσι τὴν γενικὴν, τοῦ Παπία καὶ τοῦ Ἑρμεία. καὶ πάλιν ἐκ τῆς λάαος τρισυλλάβου γενικῆς γίνεται τρίτη κράσει τῶν δύο αα εἰς α μακρὸν, λᾶος· καὶ Ὅμηρος Ἰλιάδος μ', Λᾶος ὑπὸ ῥιπῆς: — τουτέστιν, 553 ὑπὸ τῆς τοῦ λίθου φορᾶς. αὕτη πάλιν ἡ λᾶος γενικὴ μετάγεται εἰς εὐθεῖαν· καὶ κιρνωμένη, γίνεται Λᾶς, καὶ κλίνεται Λᾶ· σημαίνει δὲ τοῦτο καὶ ποταμὸν, καὶ πόλιν, καὶ λίθον.

* Λάβευ, ἀντὶ τοῦ λάβου, δέχου· ἀπὸ τοῦ λαμβάνειν.

Λαός, οἱ ὄχλοι. λᾶες κατὰ διάλεκτον οἱ λίθοι λέγονται. ζήτει τὴν ἱστορίαν ἐν τῷ Λεξικῷ τῆς α Ἰλιάδος· Προμηθέως παῖς Δευκαλίων γινόμενος: —

Λαός, ὄνομα ἀρσενικόν, εἴδους παραγώγου ῥηματικόν· εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι περιληπτικοῦ. γίνεται παρὰ τὸ λαλῶ, λαλὸς καὶ λαός. ἢ παρὰ τὸ λάας, ὃ σημαίνει λίθον, ἡ γενικὴ, λάαος· καὶ κράσει, λᾶος· καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν, καὶ ὀξύνεται. διατί; αἱ γὰρ γενικαὶ μεταγόμεναι εἰς εὐθεῖαν, πολλάκις ἀμείβουσι τοὺς τόνους· οἷον, ὗϊς ὗϊος, υἱός υἱοῦ. οὕτως οὖν καὶ λάας λάαος λᾶος λαός. καὶ ἄλλως. τὰ εἰς ος λήγοντα καθαρὰ μονογενῆ μακρᾷ παραληγόμενα προπερισπᾶται· ὅσα δὲ μὴ κύρια, μηδὲ ἔχοντα οὐδετέρου παρασχηματισμὸν, ὀξύνεται· οἷον λαός, κριός· τὸ δὲ πρᾶος καὶ Χῖος οὐκ εἰσὶ προσηγορικά. τὸ δὲ λάας τὸ προσηγορικὸν, καὶ τὸ μέγας τὸ ἐπίθετον, συστέλλει τὸ α· σεσημείωται γὰρ τὸ μέγας λάας. τὰ δὲ κύρια ἰσοσυλλάβως κλίνεται, καὶ ἔχει τὸ α μακρόν· οἷον, ὁ Μέγας τοῦ Μέγα, ὁ Λάας τοῦ Λάα. τὸ δὲ λάας τὸ προσηγορικὸν, καὶ τὸ μέγας τὸ ἐπίθετον, διὰ καθαροῦ τοῦ ος κλίνεται· ἐναλλάξαντα γὰρ κατὰ τὸν τόνον, ἐνήλλαξαν καὶ κατὰ τὴν κλίσιν· οἷον, ὁ λάας τοῦ λάαος, ὁ μέγας τοῦ μέγαος· ἡ γὰρ μεγάλου γενικὴ ἑτερόκλιτός ἐστιν, ὡς ἀπὸ τῆς μεγάλος εὐθείας. ἐξέλειψε δὲ πάλιν ἡ μεγάλος εὐθεῖα· ἐπειδὴ γὰρ τὰ διὰ τοῦ αλος ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, ὡς τὸ ὀμφαλός, Ἰταλός· ἢ προπαροξύνεται, ὡς τὸ κεκρύφαλος, Ἄτταλος· τὸ μεγάλος μόνον παροξυνόμενον, διὰ τὸ ἀχαρακτήριστον τοῦ τόνου ἐξέλειψεν. ὅτι δὲ παροξύνεται τὸ μεγάλος, δείκνυται ἐκ τῆς εὐθείας τῶν πληθυντικῶν· οἱ μεγάλοι γὰρ φαμέν. διὰ τοῦτο κλίνεται ἑτεροκλίτως· οἷον, ὁ μέγας τοῦ μεγάλου. τὸ μέντοι μέγας τὸ ἐπίθετον συστέλλει τὸ α, ὡς ἔχει καὶ τὸ οὐδέτερον τὸ μέγα. καὶ τὰ εἰς ς λήγοντα μετὰ διχρόνου, ἀποβολῇ τοῦ ς τὸ οὐδέτερον ποιοῦντα, συνεσταλμένον ἔχει τὸ δίχρονον. τὸ δὲ λάας τὸ προσηγορικὸν ἔχει ὁμοίως βραχὺ τὸ α, δι' αἰτίαν τοιαύτην. τὰ εἰς ας καθαρὰ ὀνόματα δισύλλαβα ἀρσενικὰ οὐδέποτε εἰσὶ προσηγορικά· ἀλλ' ἢ κύρια, ὡς τὸ Θόας, Δρύας· ἢ ἐθνικὰ, ὡς τὸ Ὕας Ὕαντος· (Ὕαντες γὰρ λέγονται οἱ κατοικοῦντες τὴν Βοιωτίαν) ἢ ἐπίθετα, ὡς τὸ εὔας εὔαντος· ἔστι δὲ ἐπίθετον τοῦ Διονύσου. ἐπειδὴ οὖν τὸ λάας προσηγορικόν ἐστιν, ὡς διήλλαξε περὶ τὸ σημαινόμενον, διήλλαξε καὶ περὶ τὸν χρόνον. τὸ δὲ λαός, μακρὸν ἔχει τὸ α· ἢ ὅτι ἀπὸ κράσεως, ἢ ὅτι κράσει· ἢ τὰ εἰς ος ὀξύτονα ἀρσενικὰ δισύλλαβα καθαρὰ διχρόνῳ παραληγόμενα, ἐκτείνει αὐτὸ, οἷον ναός, λαός, κριός, ἰός, βιός. ἔνθεν καὶ ὅμαδος εἴρηται τὸ πλῆθος, οἷον ὁμαυδός τις ὤν. ἄλλοι δὲ παρὰ τοὺς λίθους.

Λάβρος, ὁ ἀδηφάγος. ἐκ τοῦ βορά (ὃ σημαίνει τὴν τροφὴν) καὶ τοῦ λα ἐπιτατικοῦ μορίου. ἔστι δὲ καὶ ἀπὸ τοῦ βορέας, ὃ σημαίνει τὸν ἄνεμον, ὡς τὸ, Λάβρος ἐπαιγίζων: — σφοδρὸς ἐπικαταπνέων. ἢ παρὰ τὸ λα 554 καὶ τὸ βῶ τὸ βαίνω.

Λάβραξ] ἐκ τοῦ βορά γίνεται λάβορος· καὶ συγκοπῇ, λάβρος· καὶ λάβραξ παρώνυμον, ὡς λίθος λίθαξ. ἔστιν οὖν παρὰ τὸ λάβρως ἐσθίειν· ἀδηφάγον γὰρ ἐστὶ τὸ ζῶον, ὡς ἱστορεῖ Ὀππιανὸς ἐν τοῖς Ἁλιευτικοῖς.

* Λαβρόσσυτος, ὁρμικός· ἀπὸ τοῦ σεύω καὶ λάβρος.

Λαβραγόρην, προπετῆ ἐν τῷ λέγειν, οἷον λάβρον καὶ θρασύν.

Λαβή, ἀφορμή, μέμψις.

Λαγαρόν, ὡς λαγαρνόν· ἐκκεκένωται γὰρ αὐτοῦ τὸ πάχος εἰς πλάτος· καὶ λιανθὲν, ἀσθενέστερον γίνεται· παρὰ τὸ πλήγω.

Λαγγών, ὁ εὐθέως λανθάνων τοῦ ἀγῶνος καὶ φόβου.

Λαγαρία, πόλις Ἰταλίας· ἀπὸ Λαγάριδος τινὸς νομέως.

Λάγυνος, ἡ πάνυ δεκτική· παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ γῶ τὸ χωρῶ.

Λαγνεία, λαγυνεία τὶς οὖσα· παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὴν γυναῖκα.

Λαγώς, παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ ὦς ὠτός Δωρικῶς γίνεται, ὁ μεγάλα ὦτα ἔχων. ἢ παρὰ τὸ λάειν, ὅ ἐστι βλέπειν· λέγεται γὰρ μὴ μύειν κοιμώμενος. ἐκ τοῦ λαγώς, γίνεται λαγῷος τὸ ἐπίθετον· καὶ λαγῷα κρέα.

* Λαγῴδιον, μικρὸς λαγώς, ὑποκοριστικῶς.

Λαβύρινθος, ἐν τῇ Κρήτῃ νήσῳ ἐστὶν ὄρος, ἐν ᾧ ἐστι σπήλαιον ἀντρῶδες, δύςκολον περὶ τὴν κάθοδον, καὶ δυςχερὲς περὶ τὴν ἄνοδον· ἐν ᾧ λέγεται ὁ Μινώταυρος ἐμβληθῆναι. ἐπεὶ οὖν δυςχερὲς τὸ ἐκβῆναι τὰς Λαβυρίνθους, λαμβάνεται ἐπὶ τῶν ἀφύκτων λόγων, οὓς οὐδεὶς δύναται ἐκφυγεῖν.

Λαδρέοντι] παρὰ τὸ λα καὶ τὸ ῥέω, λαρέοντι, μεγάλως ῥέοντι· καὶ πλεονασμῷ τοῦ δ.

Λαερτιάδης, πατρωνυμικὸν ἐκ τοῦ Λαέρτιος. τὰ γὰρ εἰς ος ὀνόματα, εἰ μὲν καθαρὰ, διὰ τοῦ άδης ποιοῦσι τὸ πατρωνυμικόν· οἷον, Νηλήϊος, Νηληϊάδης· Θυέστιος, Θυεστιάδης· εἰ δὲ μὴ καθαρὰ, διὰ τοῦ ίδης, Κρόνος, Κρονίδης· Λαγός, Λαγίδης. Ἰστέον ὅτι οὐ ποιοῦσιν ἀπὸ προσηγορικοῦ πατρωνυμικά· τὰ γὰρ προσηγορικὰ κοινά εἰσι καὶ κατὰ πολλῶν λέγονται. εἰ οὖν ἄνθρωπος ἀνθρωπίδης εἴπωμεν, ἐδηλώσαμεν τινὰ ἐκ πολλῶν γεγενῆσθαι· ὅπερ ἐστιν ἄτοπον. μόνον δὲ λέγουσι γεγενῆσθαι τὸν Πᾶνα ἐκ πολλῶν· ὅθεν καὶ αὐτὴν εἴληφε τὴν ὀνομασίαν.

Λαέρτιος] ὥςπερ δὲ λέγεται Βούσιρις, οὕτω καὶ Λαέρτις Λαέρτιος· παρὰ τὸ δύνασθαι λᾶας ἀερτάζειν, ἤγουν κουφίζειν λίθους.

Λάϊγγες] παρὰ τὴν λᾶος γενικὴν γίνεται λάϊξ· καὶ πλεονασμῷ τοῦ γ, λάϊγξ· κλίνεται λάϊγγος· ὥςπερ καὶ παρὰ τὸ ψῆφος γίνεται ψῆφιξ, καὶ ψᾶφιξ, καὶ ψᾶφιγξ.

Λάζετο] — λάζετο δ' ἔγχος: — ἐκράτει. ἐκ τοῦ λήβω

τὸ λαμβάνω, ὁ δεύτερος ἀόριστος, ἔλαβον· ἐξ αὐτοῦ ῥῆμα λαβάζω· καὶ συγκοπῇ, λάζω· λάζομαι, ἐλαζόμην, ἐλάζου, ἐλάζετο· καὶ συναρχομένως, λάζετο.

Λάθιος, κρήνη περὶ τὴν Οἴτην· ἥτις οὕτως ὠνόμασται,
555 διὰ τὸ τὸν Ἡρακλέα πιόντα ἐξ αὐτῆς, ἐπιλαθέσθαι τῶν ἐν ἀνθρώποις κακῶν.

Λαθικηδής, παρὰ τὸ κήδω (ὅθεν κήδομαι τὸ λυποῦμαι) μετὰ τοῦ λήθω γίνεται, ὁ ἄλυπος. ὀξύνεται δὲ, ὅτι παρὰ ῥῆμα ἐστὶ βαρύτονον τὸ λήθω, κήδω. εἰ γὰρ ἦν παρὰ τὸ κῆδος, ἐβαρύνετο ἂν, ὡς παρὰ τὸ μῆκος εὐμήκης. — λαθικηδέα μαζόν. — τὸν λήθην ἐμποιοῦντα τοῖς παισὶ τῶν κακῶν πάντων. Ἰλιάδος χ.

Λάκκος] ἀπὸ τοῦ λακίζω λακίσω, (ὃ σημαίνει τὸ διακόπτω) ὁ δεύτερος ἀόριστος, ἔλακον· καὶ ἐξ αὐτοῦ λάκκος πλεονασμῷ ἑτέρου κ. ἢ παρὰ τὸ λαχαίνω.

Λακαίρια, ὄνομα πόλεως· παρὰ τὸ λα καὶ τὸ ῥέειν, οἱονεὶ ἡ μεγάλως ἐπιῤῥεομένη.

* Λαικάστρια, ἡ πόρνη· ἀπὸ τοῦ λαικάζειν, τὸ ἐξαπατᾷν τοὺς προσιόντας.

Λακίνιον, ὄρος Κρότωνος· ἀπὸ ἥρωος Λακινίου ὠνόμασται. Λακινία πόλις, ἀπὸ τοῦ Λακῖνος· ὅθεν καὶ τὸ νι ι.

Λάκτιν, σημαίνει ἡ λέξις σκυτάλην, τορύνην. Καλλίμαχος, Αὖθις ἀπαιτίζουσαν ἔκνων εὐεργέα λάκτιν.

Λαμπρός, παρὰ τὸ λάμπω· τοῦτο παρὰ τὸ λίαν καὶ τὸ φῶ τὸ φαίνω· γίνεται λιάνφω· καὶ τροπῇ, λάμπω. ἐτυμολογεῖται δὲ λαμπρὸς, παρὰ τὸ λύειν τὴν πήρωσιν.

Λακεδαίμων ἀνὴρ, ἀπὸ τῆς πόλεως· καὶ ἡ Λακεδαίμων πόλις, λαχεδαίμων τὶς οὖσα· ἐν αὐτῇ γὰρ οἱ θεοὶ πρῶτοι ἔλαχον καὶ ἐκληρώσαντο τὰς πόλεις.

Λακέρυζα κορώνη, Ἡσίοδος. ἐκ τοῦ κρῶ κρύζω, ὄνομα κρύζα· πλεονασμῷ τοῦ ε, κέρυζα· καὶ μετὰ τοῦ λα ἐπιτατικοῦ μορίου, λακέρυζα, ἡ μεγάλως κράζουσα· ἐξ οὗ καὶ ῥῆμα λακερύζω. τοῦ λακεῖν ἡ λέξις πεποίηται ἀπὸ τοῦ ἤχου.

Λαλῶ, πρώτης συζυγίας τῶν περισπωμένων. παρὰ τὸ λῶ τὸ θέλω, γίνεται κατὰ ἀναδιπλασιασμὸν, λαλῶ· ἃ γάρ τις θέλει, ταῦτα καὶ λαλεῖ. τὸ δὲ λῶ, σημαίνει τὸ ἀπολαύω· ἐξ οὗ καὶ λάρυγξ. ἔστι παράγωγον τοῦ λῶ, λάσω· καὶ πλεονασμῷ τοῦ κ, λάσκω. ὅθεν Εὐριπίδης, Τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους.

Λακίδες, ἐπισχίσματα ἱματίου· παρὰ τὸ λακεῖν καὶ ψοφεῖν ἠρέμα ἐν τῷ σχίζεσθαι.

* Λακκοκαταπύγων, ὁ πόρνος, ἀπὸ τοῦ λάκκος καὶ πυγὴ ὁ πρωκτός.

Λαλιά, παρὰ τὸ λῶ τὸ λαλῶ. ὀξύνεται· τὰ σημαίνοντα ἄθροισιν, ἢ περιεκτικὰ τινῶν προσηγορικῶν, ὀξύνεται· οἷον, ἀχυρμιά, πυρκαϊά.

Λάλαξ, ἀπὸ τοῦ λαλαγὴ τοῦ σημαίνοντος τὸν θόρυβον.

Λάλλαι] ἐκ τοῦ λαλῶ γίνεται ῥηματικὸν ὄνομα λάλη· καὶ πλεονασμῷ τοῦ λ, λάλλη. λάλλαι δέ εἰσιν αἱ ψῆφοι αἱ παραθαλάσσιαι, αἱ ὑπὸ τῶν κυμάτων κινούμεναι καὶ ψόφον τινὰ ἀποτελοῦσαι.

Λάμια, θηρίον. ἀπὸ τοῦ ἔχειν μέγαν λαιμὸν, λαίμια, λάμια. Λαμία, πόλις· οἱ μὲν, ἀπὸ Λαμίου τοῦ Ἡρακλέους ὀνομάζουσιν· οἱ δὲ, ἀπὸ γυναικὸς Λαμίας, ἥτις ἐβασίλευσε Τραχινίων. καὶ προσηγορικὸν καὶ σημαίνει τὰ χάσματα.

Λάμυρος, ὁ λάλος, ὁ στωμύλος· καὶ λαμυρία, ἡ στωμυλία, η ἡ ἀλόγιστος ἀνδρεία· καὶ λαμυρόν, τὸ πολὺ καὶ ἄθρουν· καὶ λαμυρήν, τὴν θάλασσαν, οἷον πολλήν.

556 Λαμπετῶ] ὥςπερ ἀπὸ τοῦ εὔχω γίνεται εὐχέτης, καὶ βάλλω βελέτης καὶ ἑκατηβελέτης, οὕτω καὶ παρὰ τὸ λάμπω, λαμπετής· καὶ ἐκ τούτου λαμπετῶ. ἔστι δὲ δευτέρας συζυγίας τῶν περισπωμένων· καὶ οἱ ποιηταὶ ἐπὶ τῆς δευτέρας συζυγίας ἔθος ἔχουσι πλεονάζειν τὸ ο· καὶ γίνεται λαμπετόω· ἡ μετοχὴ, λαμπετόων λαμπετόωντος λαμπετόωντι.

Λάμψακος] — ὅτι τοῖς Λαμψακηνοῖς χρησμὸς ἐδόθη, ὅπου ἂν αὐτοῖς λάμψη, ἐκεῖ πόλιν κτίσαι. ἀστραπῆς οὖν γενομένης, εἶδον τὸν τόπον, καὶ ἔκτισαν τὴν πόλιν, Λάμψακον ταύτην προσαγορεύσαντες· καὶ τοὺς πολεμοῦντας αὐτοῖς βαρβάρους λόχον ποιήσαντας, διὰ τῆς ἀστραπῆς ἰδόντες, κατέκαυσαν.

Λάξ] ἀπὸ τοῦ λήγω ῥήματος, ὁ μέλλων, λήξω· λὴξ καὶ λὰξ, τὸ τῷ λήγοντι μέρει τοῦ ποδὸς (τουτέστι τῷ ἄκρῳ) πλήττειν. καὶ Ὅμηρος Ἰλιάδος κ', Λὰξ ποδὶ κινήσας: — εὐτόνως τῷ μεγάλῳ δακτύλῳ τοῦ ποδὸς, τοῦ κοίλου μέρους ἀψάμενος τοῦ Διομήδους ποδὸς, ὡς δῆλον ἐκ τῶν ἐπιφερομένων, — ὤτρυνέ τε νείκεσέ τ' ἄντην: — ὁ Νέστωρ δηλονότι.

Λάξις, ὅ ἐστιν οἰκοδόμημα αἱμασιᾶς· οἱ δὲ Ἀττικοὶ, λίθους ἐκλέγοντες, ἀνῳκοδόμουν.

Λαοδίκη, ὄνομα κύριον· ἐκ τοῦ λαὸς καὶ τοῦ δίκη. τὰ δὲ εἰς ος ὀκταχῶς συντίθενται. ζήτει εἰς τὸ θ.

Λαομεδοντιάδης] εἴδους τῶν παραγώγων πατρωνυμικοῦ. τὸ τι; ι· πᾶσα γενικὴ εἰς ος διὰ τοῦ ιδης ποιεῖ τὸ πατρωνυμικόν· Λαομέδοντος, Λαομεδοντίδης· καὶ ὥςπερ Τελαμὼν Τελαμῶνος Τελαμωνίδης· καὶ πλεονασμῷ τοῦ α, Τελαμωνιάδης· οὕτω καὶ Λαομέδων Λαομέδοντος Λαομεδοντιάδης. ἡ κλητικὴ, ὦ Λαομέδον.

Λαοσσόος τὸν Ἀμφιάραον τὸν διὰ μαντικὴν σώζοντα τοὺς ἀνθρώπους. ἢ λαοσσόος ἡ Ἀθηνᾶ, καθὸ σώζει καὶ παρορμᾷ τοὺς λαούς.

Λάπαθος, ἡ κενωτικὴ τῆς γαστρὸς βοτάνη· παρὰ τὸ λειαίνειν τὰ πάθη· παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ πάθος, ἡ ἀπελαύνουσα τὸ πάθος. ἢ ἀπὸ τοῦ λαπάσσειν· ἔστι γὰρ τὸ λάχανον εὔθετον εἰς γαστέρα· ἀπαλύνει γάρ. οἱ δὲ Ἀττικοὶ λάπαθον λέγουσι τὰ ὀρύγματα τῶν θηρίων, ὅτι λανθάνει τοὺς θεωροῦντας· οἵτινες, μὴ εἰδότες, ἔρχονται εἰς τὸ παθεῖν τι. καὶ ὑπολαπάξας, τὸ ὑποκενώσας ὁμοίως.

Λαξευτήριον, παρὰ τὸ λάας (ὃ σημαίνει τὸν λίθον) καὶ τὸ ξύω, τὸ τοὺς λίθους ξύον. ἢ ξέω, καὶ πλεονασμῷ τοῦ υ μετὰ τοῦ λα ἐπιτατικοῦ, λαξεύω τὸ πάνυ ξέω· ὅθεν καὶ λαξευτήριον.

Λαπάρα, γίνεται ἐκ τοῦ λαπάζω, ὃ σημαίνει τὸ κενῶ· ὅθεν καὶ τὸ ἐξαλαπάξας· καὶ λαπάξαι, τὸ κενῶσαι· παρὰ τὸ λάπαθον τὴν βοτάνην, κενωτικὴν οὖσαν γαστρός· ὅθεν καὶ λάφυρα, ἀπὸ τῆς κενώσεως τῆς πόλεως. καὶ, Λάπτοντες γλώσσαις: — οἷον κενοῦντες καὶ ἐξαντλοῦντες, Ἰλιάδος π'· καὶ οἷον ταῖς γλώσσαις προςκείμενοι τῷ ὕδατι. τί δέ ἐστι λαπάρα; ὁ κενὸς τῶν ὀστέων τόπος, ὁ ὑποκάτω τῶν πλευρῶν κείμενος.

Λαπιδόρχας, ὁ μεγάλους ὄρχεις ἔχων.

Λαπίζειν, ἀλαζονεύεσθαι.

Λάρναξ, κυρίως ἡ διὰ λάων (ὅ ἐστι λίθων) κατασκευα-
σθεῖσα θήκη· ἢ παρὰ τὸ λίαν νάσσεσθαι τὸν ἐκτιθέ- 557
μενον.

Λάρισσα πόλις, ἀπὸ Λαρίσσης τινὸς κληθεῖσα.

Λαρος τὸ ὄρνεον, τὸ ἀπολαυστικὸν ἔχον τὸν νοῦν, — λάρῳ ὄρνιθι ἐοικώς.

Λαρόν, τὸ ἡδὺ πόμα. παρὰ τὸ ἱλαρὸν, ἱλαρόν· ἢ παρὰ τὸ λῶ τὸ θέλω, τὸ κατὰ γεῦσιν ἢ καὶ ὄψιν θελητόν. ἢ παρὰ τὸ λίαν γέγονε. λέγεται καὶ ἐπὶ τοῦ ἁπαλοῦ·

Ἡσίοδος, Βαίνου λαροῖς ποσίν: — ἐκ τούτου τὸ λαρινός. ἢ παρὰ τὸ λα ἐπιτατικὸν μετὰ τοῦ ῥινός.

Λάρυγξ] παρὰ τὸ λαρύσσω λαρύξω, λάρυγξ· τὸ δὲ λαρύσσω, παρὰ τὸ λῶ τὸ ἀπολαύω· ἐξ οὗ καὶ τὸ λεῖον· διὰ γὰρ τοῦ λαιμοῦ καὶ τοῦ φάρυγγος τὴν ἀπόλαυσιν ἔχομεν τῶν τροφῶν· ἢ παρὰ τὸ λῶ τὸ λαλῶ· καὶ γὰρ τρεῖς πόροι εἰσὶ τοῦ τραχήλου, λάρυγξ, φάρυγξ, καὶ ὁ νωτιαῖος μυελός. λάρυγξ μὲν, δι' οὗ λαλοῦμεν καὶ ἀναπνέομεν· φάρυγξ δὲ, δι' οὗ ἐσθίομεν καὶ πίνομεν· ὁ δὲ νωτιαῖος μυελὸς, δι' οὗτινος τὰ νεῦρα ἐκφύονται.

Λαρυγγίζειν, εἰς τὸ λαχανίζειν.

Λάσιος, ὁ δασύς. ἐκ τοῦ λα ἐπιτατικοῦ, καὶ τοῦ σεύω τὸ ὁρμῶ· ὀρθῶς γὰρ ὁρμῶνται δι' αὐτοῦ τὰ νοήματα· ἡ γὰρ θέρμη αἰτία τῆς ἐκφύσεως τῶν τριχῶν· νῦν δὲ περὶ τοῦ θερμοειδοῦς μέρους τῆς ψυχῆς φησίν. ἀφ' ὧν λέγεται, Στήθεσσι λασίοισιν: — τουτέστι θερμοῖς· ἡ γὰρ θέρμη ἐν τοῖς δασέσι καὶ συνετοῖς τόποις. ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία, ἐν ᾗ ἐστι τὸ πυρῶδες ἢ ξηρῶδες καὶ θερμὸν καὶ μανικὸν τῆς ψυχῆς. λάσιοι οὖν, πολύτριχες ἢ συνετοί.

Λάσανον, ἐφ' οὗ οἱ δασεῖς τόποι οἰζοῦσιν, ὡς, — λαισήϊά τε πτερόεντα: — λάσεα δὲ, τὰ περὶ τὸν φόρτον.

Λάσταυρος, παρὰ τὸ λᾶς· οἴδαμεν γὰρ τί σημαίνει παρὰ τοῖς Ἀττικοῖς.

Λάταυρος, τὸ ἱμάτιον· ἀναλογεῖ γὰρ τῇ λωπίᾳ τῷ δέρματι.

Λάτρις, ὁ ἐπὶ μισθῷ δουλεύων· λάτρον γὰρ ὁ μισθός· ἢ παρὰ τὸ λα ἐπιτατικὸν μόριον, καὶ τὸ τρεῖν τὸ φοβεῖσθαι. ἔστι δὲ ἀρσενικὸν καὶ θηλυκόν.

* Λατύπος, ὁ λατόμος, ἀπὸ τοῦ λᾶς καὶ τυπόω.

Λατρεία, ἐκ τοῦ λατρεύω· τοῦτο, ἐκ τοῦ λάτρις, ὃ σημαίνει τὸν μίσθιον δοῦλον· τοῦτο, ἐκ τοῦ λάτρον, ὃ σημαίνει μισθόν· τοῦτο, ἐκ τοῦ τηρῶ τὸ βλέπω καὶ τοῦ λα ἐπιτατικοῦ, λατήριον· καὶ συγκοπῇ, λάτρον, πρὸς ὃ ἀποβλέπει ὁ μισθωτός.

Λαῦρα, ἡ πλατεῖα ῥύμη· οἷον, Ἦν ὁδὸς ἐς λαύρην: — παρὰ τὸ λίαν ἔχειν αὔραν· ἢ δι' ἧς ὁ λαὸς ῥεῖ εἰς τὴν ὁδόν. Λαύρας, τὰς ὁδοὺς, ἢ τὰ ἄμφοδα, ἢ τὰς πλατείας ῥύμας. ἢ παρὰ τὸ δι' αὐτῶν τὸν λαὸν ὀρούειν, τουτέστιν ὁρμᾶν.

Λατῷος, ποταμὸς οὕτως ὠνόμασται, ἀπὸ τοῦ τὴν Λητὼ ἐκεῖ ἀποκυῆσαι.

Λαφύστιος, ὁ Διόνυσος· ἀπὸ τοῦ ἐν Βοιωτίᾳ Λαφυστίου ὄρους.

Λάσκω, σημαίνει τὸ λαλῶ. Εὐριπίδης, Τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους.

Λάταξ] παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ στάζω στάξω στάξ καὶ λάταξ, ἡ μεγάλη σταγών. Ἡσίοδος.

558 Λάχεια, σημαίνει τὴν καλῶς ἐσκαμμένην γῆν· παρὰ τὸ λα ἐπιτατικόν. ὡς ἀπὸ τοῦ χαίρω χάρεια, καὶ ἀνθῶ ἄνθεια, καὶ κρατῶ κράτεια, οὕτω καὶ τὸ λαχῶ λάχεια· τὰ γὰρ ἀπὸ ἐνεστῶτος γινόμενα προπαροξύτονα, διὰ διφθόγγου γράφεται, μήδω, Μήδεια· θέρω, θέρεια.

Λαχαίνειν, τὸ σκάπτειν· ἤτοι παρὰ τὸ λάχειαν γίνεσθαι τὴν γῆν θρυπτομένην· ἢ παρὰ τὸ σφόδρα χαίνειν αὐτὴν σκαπτομένην. καὶ λάχανον ἐντεῦθεν, παρὰ τὸ δεῖσθαι τοῦ σκάπτεσθαι. καὶ λάχεια νῆσος, ἀπὸ τοῦ σκάπτεσθαι, εἰς βάθος δύεσθαι· οἱ δὲ λέγουσιν αὐτὴν ἐλάχειαν εἶναι, ὅ ἐστι σμικράν· ἀλλ' ἐκ τοῦ περιεχομένου ἐλέγχονται· — πάρος λιμένος τετάνυσται: — πῶς γὰρ παρατέταται, μικρὰ οὖσα;

Λαχανίζεσθαι, ἀντὶ τοῦ λάχανα συλλέγειν.

Λαρυγγίζειν, τὸ πλατύνειν τὴν φωνὴν καὶ μὴ κατὰ φύσιν φθέγγεσθαι, ἀλλ' ἐπιτηδεύειν περιεργότερον τῷ λάρυγγι χρῆσθαι.

Λάχνη, ἡ τρίχωσις. ἐκ τοῦ λα ἐπιτατικοῦ καὶ τοῦ ἔχω τὸ κρατῶ· γίνεται λαέχνη· καὶ κατὰ κρᾶσιν, λάχνη, ἧς ἐστιν ἔχεσθαι καὶ λαβέσθαι. ἢ τὸ πάνυ κεκρατημένον· ἡ γὰρ τρίχωσις εὔληπτος. παράγεται δὲ παρὰ τὸ λάζω τὸ κρατῶ· ὁ μέλλων, λάξω· καὶ ἐξ αὐτοῦ, λάχνη· οὐδὲν γὰρ εὐληπτότερον τῆς τριχός.

Λαχμῷ, τῷ δασεῖ τῶν ἐρίων· παρὰ τὸ λίαν ἔχεσθαι. Ἀντίμαχος δὲ τῶν ἵππων τὸν λακτισμόν· οἷον, — λαχμὸν δ' οὐ δείδιεν ἵππων: — Σέλευκος δὲ ἀξιοῖ διὰ τοῦ ν γράφεσθαι λάχνῳ, ὃ σημαίνει λάχνην.

Λαχόην] ἔστι λάχοιμι λάχοις λάχοι. τοῦτο γίνεται κατὰ πλεονασμὸν τοῦ η Ἀττικῶς, λαχοίη· εἶτα προσθέσει τοῦ ς, λαχοίης· καὶ τροπῇ τοῦ ς εἰς ν, γίνεται τὸ πρῶτον· καὶ ἀποβολῇ Αἰολικῇ τοῦ ι, λαχόην.

Λαυκανίη, ὁ λαιμός· ἀπὸ τῆς ἀπολαύσεως.

Λαιμός, παρὰ τὸ λίαν μᾶν· ἢ παρὰ τὸ λάπτω, ὃ σημαίνει τὸ κατὰ δίψης φλέγομαι. ἢ παρὰ τὸ λάειν, ὅ ἐστιν ἀπολαύειν. εἰς τὸ λῆμμα.

Λαιδρός, ὁ θρασύς. παρὰ τὸ λα ἐπιτατικόν, καὶ τὸ δρῶ, τὸ πράττω.

Λαίθαργος κύων, ὁ λαθραία δάκνων· ἐκ τοῦ λήθω.

Λαίς, κάπρος ὁ λάγνος καὶ λάμυρος· παρὰ τὸ λα ἐπιτατικὸν, πλεονασμῷ τοῦ ι, ὡς ἐν τῷ μαιστροπός, ἀντὶ τοῦ μαστροπός.

Λαισήϊά τε πτερόεντα, μικρὰ ἀσπιδίσκια ὠμοβύρσια· ἔστι δὲ βαρβαρικὸν ὅπλον. γίνεται παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ σεύω τὸ ὁρμῶ. ἢ παρὰ τὸ ἐν τῇ λαιᾷ βαστάζεσθαι· ἢ παρὰ τὸ λάσιον· ἀπὸ τοῦ ὠμαῖς βύρσαις περιβεβλῆσθαι.

Λαιὰ χεὶρ, ἡ ἀριστερά· ἀπὸ τοῦ λελιάσθαι καὶ κεχωρίσθαι τῶν πράξεων.

Λαῖφος, λινοῦφὲς ἄρμενον· ἢ παρὰ τὸ λῶπος, λάφος καὶ λαῖφος, ὡς γλῶσσα γλάσσα.

Λαῖτμα, τὸ χάσμα, καὶ μέγα πέλαγος. ἢ τὸ οἴδημα τῆς θαλάσσης.

Λαίλαψ] παρὰ τὸ λάπτω λάψω λάψ· καὶ κατὰ ἀναδιπλασιασμὸν, λαίλαψ· δηλοῖ δὲ τὴν σφοδρὰν καὶ ἐπιτεταμένην λαβρότητα τοῦ πνεύματος. τὸ δὲ λάπτω, ἐκ τοῦ λα ἐπιτατικοῦ, καὶ σημαίνει τὸ λίαν ἅπτεσθαι.

Λέα, ἡ ἐν τοῖς ἱστίοις λίθος· ὅτι λίθους ἐξήρτουν.

Λεβηρίς, τὸ τοῦ ὄφεως γῆρας. 559

Λέβης, τὸ χέρνιβον, ἀπὸ τοῦ τὰς λιβάδας τῶν χειρῶν ὑποδέχεσθαι· ἢ ὁ χυτρόπους, εἰς ὃν λείβεται καὶ ἐμβάλλεται τὸ ὕδωρ. σημαίνει δ'· ἐπὶ μὲν τοῦ παρ' ἡμῖν λεγομένου χέρνιβος, Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα, Καλῇ χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος: — ἐπὶ δὲ τῆς λεκάνης, Γρηῦς δὲ λέβητ' ἕλε παμφανόωντα· τῷ πόδας ἐξαπενίζοντο: — ἐπὶ δὲ τοῦ ἡμῖν συνήθους, Ὡς δὲ λέβης ζεῖ ἔνδον ἐπειγόμενος πυρὶ πολλῷ: — ἐπὶ δὲ τῶν ἀναθεματικῶν, Αἴθωνας δὲ λέβητας ἐείκοσι.

Λεγεών, τὸ στῖφος τὸ ἐκλεκτόν· ἀπὸ τοῦ λέγω τὸ συλλέγω. τὸ δὲ λέγω σημαίνει ἕξ· καὶ γίνεται παρὰ τὸ λῶ τὸ θέλω. λέγω τὸ λαλῶ, ἐξ οὗ καὶ λόγος· λέγω τὸ μετρῶ, ἐξ οὗ καὶ ὡρολόγιον, τὸ τὰς ὥρας μετροῦν· λέγω τὸ κοιμῶμαι, ἐξ οὗ καὶ λέχος ἡ κοίτη· λέγω τὸ φροντίζω, ἐξ οὗ καὶ ἀλέγω· λέγω τὸ συλλέγω, ὡς τὸ, — ἐπὶ δὲ, ξύλα πολλὰ λέγοντο: — λέγω τὸ λαγχάνω, ἐξ οὗ καὶ ὁ μέσος παρακείμενος, λέλογχα, ὡς τὸ, — τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσιν.

Λέγω, τὸ λε, ψιλόν. διατί; τὰ διὰ τοῦ εγω ῥήματα διὰ

τοῦ ε ψιλοῦ γράφεται, φλέγω, ψέγω· ἢ καὶ τὰ ἔχοντα τὸ ο ἐγκείμενον ἐν τοῖς ὀνόμασιν, ἔχουσι τὸ ε ἀντιπαρακείμενον ἐν τοῖς ῥήμασιν. ὁ δεύτερος ἀόριστος, ἔλεγον· καὶ ὤφειλεν εἶναι ἔλαγον, κατὰ τὸν λέγοντα κανόνα, Κἄν που τύχῃ τὸ ε σὺν ἀμεταβόλῳ, εἰς α αὐτὸ τρέπει ὁ δεύτερος ἀόριστος. ἀλλὰ σεσημείωται τὸ λέγω, ἔλεγον· φλέγω, ἔφλεγον· καὶ ἀείρω, ἤερον· καὶ ὀφείλω, ὤφελον. τὸ λεγόμεθα καὶ φερόμεθα, οἱ Αἰολεῖς εἰς ε ποιοῦσι λεγόμεθεν καὶ φερόμεθεν, μετὰ τοῦ ν. ἀλλὰ καὶ τὰ εἰς θεν λήγοντα ἐπιῤῥήματα εἰς α ποιοῦσιν, ὄπισθεν, ὄπισθα· ἄτερθεν, ἄτερθα, χωρὶς τοῦ ν. ὅτε γὰρ ἦν εἰς ε τὰ ἐπιῤῥήματα, τότε καὶ τὸ ν· ὅτε δὲ εἰς α, ἀφίσταται τὸ ν, ὥςπερ καὶ τὸ λεγόμεθα, φερόμεθα· εἶτα λεγόμεθεν, ἐπλεόνασε τὸ ν.

Λῶ, σημαίνει δ΄· τὸ λαλῶ· λῶ, τὸ ἀπολαύω· λῶ, τὸ βλέπω. ἐξ οὗ καὶ λέων· λῶ τὸ ἐπιθυμῶ, ἐξ οὗ τὸ, — λιλαιόμενοι χροὸς ἆσαι.

Λεηλατῶ] παρα τὸ λεὼς καὶ τὸ ἀτῶ τὸ βλάπτω, γίνεται λεωλατῶ, πλεονασμῷ τοῦ λ· εἶτα τρέπεται τὸ ω εἰς η· καὶ σημαίνει τὸν λαὸν βλάπτω· καὶ ἐλεηλάτει, ᾐχμαλώτευεν, ἐλῄστευεν, ἥρπαζε.

Λεκάνη, ἧς τὸ χάσμα ἐστὶ λεῖον· πεπλάτυνται γάρ. λειοχάνη οὖν ἡ ἐτυμολογία, καὶ λεκάνη.

Λελῆσθαι, πρὸς διάφορον σημαινόμενον διάφορον ἔχει καὶ τὴν γραφήν. εἰ μὲν ἀπὸ τοῦ λήθω τὸ λανθάνω ἐστὶν, οὐκ ἔχει τὸ ι· εἰ δὲ ἀπὸ τοῦ ληΐζω, ληΐσω, λελήϊκα, λελήϊσμαι, λελήϊσται, λεληΐσθαι καὶ λελῆσθαι κατὰ συναίρεσιν.

Λελογχὼς, ἀπὸ τοῦ λήχω, ἔλογχα, καὶ λέλογχα· καὶ λέληκας. ζήτει εἰς τὸ λεπτός.

Λελῦντο, προπερισπᾶται τὸ εὐκτικόν.

Λελυμασμένος] παρὰ τὸ λύμη, λυμαίνω· ὁ παρακείμενος, λελύμαγκα, λελύμαμμαι, λελυμαμμένος· καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς σ, γίνεται, ὡς παρὰ τὸ ἡδύνω, ἥδυγκα ἥδυμμαι, καὶ ἥδυσμαι, ἐξ οὗ καὶ ἥδυσμα. ἔστι δὲ καὶ λυμάζω, λυμάσω, λελύμακα, λελύμασμαι.

560 Λελίηκα] ἀπὸ τοῦ λίω τοῦ σημαίνοντος τὸ προθυμοῦμαι, περισπώμενον λιῶ, λιήσω, λελίηκα.

Λελιημένος, προθυμούμενος· παρὰ τὰ μένος, ἢ παρὰ τὸ λίαν τεθραμμένος. ἢ ἔστι ῥῆμα λῶ σημαῖνον τὸ θέλω καὶ προθυμοῦμαι. ἐκ τοῦ λῶ γίνεται λιλῶ· καὶ κατὰ παραγωγὴν, λιλαίω· τοῦ λιλῶ ὁ παρακείμενος, λελίληκα· ὁ παθητικὸς, λελίλημαι, λελιλημένος· καὶ κατὰ ἀποβολὴν τοῦ λ, λελιημένος.

Λέληκα] οὐκ ἀπὸ τοῦ λέγω, ἀλλ᾽ ἀπὸ τοῦ λαλῶ, λαλήσω, λελάληκα, καὶ συγκοπῇ τοῦ λα.

Λεξείδιον, εἰ μὲν ἀπὸ τῆς λέξις λέξεως, διὰ τῆς ει διφθόγγου· εἰ δὲ ἀπὸ τῆς λέξιος Ἰωνικῶς, διὰ τοῦ ι· ὡς καὶ ἀπὸ τῆς ῥήσεως, ῥησείδιον· ἀπὸ δὲ τῆς ῥήσιος γενικῆς Ἰωνικῶς, ῥησίδιον· καὶ τὰ ὅμοια. Χοιροβοσκός.

Λέξασθαι, τὸ κοιμηθῆναι· παρὰ τὸ λέχριον πεσεῖν. κυρίως οὖν ἐπὶ ἀνθρώπων· καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀλόγων. σημαίνει δὲ καὶ τὸ ἐπιλέξασθαι, ὅ ἐστι λεχθῆναι, καταριθμηθῆναι.

Λεοντοκόμος, ὁ τὸν λέοντα ἐπιμελούμενος· ἐκ τοῦ κομῶ τὸ ἐπιμελοῦμαι καὶ τοῦ λέων· τὸ δὲ λέων, παρὰ τὸ λάω τὸ θεωρῶ· ὀξυδερκέστατον γὰρ τὸ θηρίον, ὥς φησιν ὁ Μανέθων ἐν τῷ πρὸς Ἡρόδοτον, ὅτι οὐδέποτε καθεύδει ὁ λέων. τοῦτο δὲ ἀπίθανον· οὐκ ἐνδέχεται γὰρ ἀεί τινα ἐγρηγορέναι· ἀλλ᾽ ἴσως ὡς ἡ δορκὰς ἀνεῳγμένους ἐν τῷ καθεύδειν τοὺς ὀφθαλμοὺς ἔχει, καὶ λοιπὸν ὑπόνοιαν παρέχει τοῦ μὴ καθεύδειν, οὕτω καὶ ὁ λέων ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμούς· ἐπειδὴ τῶν ὀφθαλμῶν μεγάλων ὄντων, τὸ ἐπικείμενον δέρμα τοῖς ὀφθαλμοῖς μικρότερόν ἐστι, καὶ οὐ δύναται σκεπάσαι αὐτούς.

Λεὼς, ἐὰν μὲν ὀξύνηται, Ἀττικόν ἐστιν, ἀπὸ τοῦ λαός· εἰ δὲ βαρύνεται, ἀποβολή ἐστι τοῦ τελέως· ὃν γὰρ τρόπον προσέρχεται ἡ τε ἐν τῷ τέτρομος, ἀφαιρεῖται ἐν τῷ τελέως, λέως.

Λεωκόριον, ἱερὸν Ἀθήνησι τῶν Λεὼ θυγατέρων· ὁ δὲ Λεὼς, υἱὸς Ὀρφέως.

Λέντιον, παρὰ τὸ λειαίνω τὸ καθαίρω, λελείαμμαι λελείανται, γίνεται λειάντιον· καὶ συγκοπῇ, λέντιον.

Λέπαδνα, οἱ κατὰ τῶν ἱππίων στηθῶν ἱμάντες, οἱ μασχαλιστῆρες. πλεονάζει δὲ τὸ δ. ὡς γὰρ κόπτω κόπανον, οὕτω λέπω λέπανον καὶ λέπαδνον.

Λεπτός. παρὰ τὸ λείπω λεπτός, ὁ λείπων καὶ ἐνδέων· ἢ λέπτω λεπτός, ὁ ἐξελεπτισμένος· ἢ παρὰ τὸ λέπος· τοῦτο παρὰ τὸ λέπω τὸ λεπίζω· ὁ μέλλων, λέψω· ὁ παθητικὸς παρακείμενος, λέλεμμαι, λέλεψαι, λέλεπται, λεπτός.

Λέλογχα] ἀπὸ τοῦ λήχω, ὁ μέλλων, λήξω· ὁ παρακείμενος, λέληχα· πλεονασμῷ τοῦ ν, λέληγχα· καὶ τροπῇ τοῦ η εἰς ο, λέλογχα. τὸ δὲ λέληκα, οὐκ ἀπὸ τοῦ λέγω, ἀλλ᾽ ἀπὸ τοῦ λαλῶ, λαλήσω· ὁ παρακείμενος, λελάληκα· καὶ συνεκόπη ἡ λα συλλαβή.

Λέπτυνιν, αἰτιατική ἐστι παρὰ Λυκόφρονι. οἱ μὲν τὸν ᾅδην· οἱ δὲ, τὴν Περσεφόνην, οἷον τὴν λεπτύνουσαν τὰ σώματα τῶν ἀποθνησκόντων. οἱ δὲ τὴν ψυχήν· λεπτομερέστατον γάρ ἐστι.

Λέμβος, τὸ ἐφόλκιον· παρὰ τὸ λίαν βαίνειν (ὅ ἐστι πορεύεσθαι) διὰ σμικρότητα· καὶ λέμβαρχοι, οἱ ἐν ἐφολκίῳ πλέοντες.

Λέκτρον, ἡ κοίτη· πλεονασμῷ τοῦ ρ· ἀπὸ τοῦ κατακλίνε- 561
σθαι καὶ λήγειν ἡμᾶς εἰς αὐτό.

Λεπρός, παρὰ τὸ λέπος λεπαρός· καὶ συγκοπῇ, λεπρός· καὶ λέπρα, (σημαίνει τὸν ἐλεφαντιασμόν) παρὰ τὸ λέπος, ὃ σημαίνει τὸ δέρμα, γίνεται λέπηρα· καὶ συγκοπῇ, λέπρα. εἰς γὰρ τὴν ἐπιφάνειαν τοῦ σώματος γίνεται ὁ ἐλεφαντιασμός. ἔστι δὲ ἐλεφαντιασμός, ὁ δίκην ἐλέφαντος τινὰ μὲν λευκὰ, τινὰ δὲ μελάντερα τοῦ σώματος ἔχων. ἢ παρὰ τὸ λέπος καὶ τὸ ῥαίω τὸ φθείρω, ἡ διεφθαρμένη σάρξ.

Λέσχη] λέσχαι παρὰ Βοιωτοῖς τὰ κοινὰ δειπνητήρια· τινὲς δὲ τὰ φρύγια καὶ τοὺς ἀλεεινοὺς τόπους λέσχας καλοῦσι· συμβαίνει γὰρ τοὺς ἐν ταῖς οἰκίαις ταύταις χάριν θέρμης καθεζομένους λόγους συναίρειν. γίνεται παρὰ τὸ λέγω· ὁ παρακείμενος, λέλεχα. ἐξ αὐτοῦ λέσχη, κατὰ πλεονασμὸν τοῦ σ.

Λεσχάραι, οἷον αἱ σχολαί· ἀπὸ τοῦ λέξαι τι· ἐκεῖ γὰρ ὡμίλουν.

Λέχος, σημαίνει τὴν κοίτην· παρὰ τὸ λεχρίους ἡμᾶς (ἤγουν πλαγίους) ποιεῖν· ἢ παρὰ τὸ λέγω τὸ κοιμῶμαι· καὶ λεχεποίην Ὅμηρος ἐπὶ τοῦ ποταμοῦ, λεχοποίην καὶ λεχεποίην, κατὰ τροπήν, ἐν ᾧ ἐστι λέχος ποιῆσαι, ὅ ἐστι κοίτην· ἢ λοχεῦσαι, τουτέστιν ἐνεδρεῦσαι. εἰ δὲ τὸ ἔχειν ἔγκειται, πλεονασμός ἐστι τοῦ λ [illegible] καὶ σημαίνει τὴν ἔχουσαν πολλὴν πόαν, ὅ ἐστι δάση.

* Λεχώϊος, τῇ λεχοῖ ἐπιτήδειος.

Λευγαλέον, τὸ ὑγρόν· Σοφοκλῆς, Μύρῳ λευγαλέῳ· καὶ Ὅμηρος Ἰλιάδος Φ΄, Νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι, τουτέστι τῷ δι᾽ ὕδατος· ἢ χαλεπῷ, ἀδόξῳ· παρὰ τὸ χεύω, χευαλέον. σημαίνει δὲ καὶ τὸ ὀλέθριον, παρὰ τὸ λοιγὸν λοιγαλέον· καὶ μεταθέσει τῶν στοιχείων, λευγαλέον.

Λευκός] παρὰ τὸ λεύσσω τὸ βλέπω, λευκός, ὁ διαφανὴς καὶ λαμπρὸς καὶ εὐσύνοπτος καὶ εὐειδής· ἐξ οὗ καὶ λευκὸν λέγεται χρῶμα, διακριτικὸν ὄψεως· τὸ μὲν γὰρ λευκὸν, διακρίνει καὶ διαχέει τὴν ὄψιν· τὸ δὲ μέλαν, συγκρύπτει καὶ συνέχει τὴν ὄψιν.

Λευκὴ νῆσος ἐν Πόντῳ, διὰ τὸ πλῆθος τῶν λευκῶν ὀρνέων, τῶν ἐνδιαιτωμένων αὐτῇ.

Λευκανοί, ἀπό τινος Λευκίου προσαγορευθέντες.

Λεύκιμμα, πίναξ γυψώδης εἰλημμένος, πρὸς γράμματα πολιτικὰ γραφόμενα ἐπιτήδειος.

Λευκοθέα, ἡ Ἰνώ· ὅτι ἐμμανὴς γενομένη, διὰ τοῦ λευκοῦ πεδίου θέουσα (ὅ ἐστι περὶ τὴν Μεγαρίδα) ἑαυτὴν εἰς τὴν θάλασσαν ἔρριψε. Μυρσῖνος δὲ οὐ μόνον τὴν Λευκοθέαν Ἰνὼ φησὶν, ἀλλὰ καὶ τὰς Νηρηΐδας Λευκοθέας ὀνομάζει.

* Λευκοόπωρος, λευκὰ μῆλα φύων.

Λεῦκτρα, τόπος τῆς Θεσπικῆς, ἀπό τινος ἐγχωρίου Λεύκτρου.

Λευστῆρα, τὸν λιθοβόλον. Λυκόφρων.

Λευρόν, τὸ λεῖον καὶ πλατύ· ἀπὸ τοῦ λίαν εὐρύ· ἢ λελιθευμένον· λεύειν γὰρ τὸ λίθους βάλλειν.

Λευκαρίων, καθ' ὑπέρθεσιν Δευκαλίων· καὶ Λευκάδιον, τροπῇ τοῦ δ εἰς ρ, Λευκάριον.

Λευκανία, στόμαχος, λαιμός, τὸ ἀπηρτισμένον τοῦ γαρ-
562 γαρεῶνος· παρὰ τὸ λευκὸν εἶναι φύσει· ἢ ὅτι λίαν κέχηνεν· ἢ παρὰ τὸ χεύω χευαλία, καὶ λευκανία· καὶ διαιρεθείσης αὐτῆς, ὁ τῆς τροφῆς ἀφανίζεται πόρος.

Λεύσσω, τὸ βλέπω. ἔστι ῥῆμα βλέπτω· (ὅθεν καὶ ἀποβλεπτῶ) ὅπερ Αἰολικῶς γίνεται βλέσσω, ὡς ὄπτω, ὄσσω· καὶ κατὰ ἀποβολὴν τοῦ β, καὶ πλεονασμῷ τοῦ υ, γίνεται λεύσσω.

Λεύσσετε, ὁρᾶτε. ἄλλοι δι' ἑνὸς σ γράφουσιν, ὡς ἀπὸ τοῦ λεύσω μέλλοντος· ὥςπερ καὶ τὸ, Ἄξετε δὲ Πριάμοιο βίην: — καὶ, Οἴσετε δ' ἄρνας: — καὶ, καταβήσεο δίφρου.

Λεαινω, ἐκ τοῦ λειαίνω, τὸ οἱονεὶ ἀποσπογγίζω καὶ ἐκμάσσω· οὗ ὁ μέλλων, λειανῶ, ἐλείηνα· Λείηναν δὲ χορόν: — τοῦτο ἐκ τοῦ λεῖον, ὃ σημαίνει τὸ ὁμαλόν· τοῦτο ἐκ τοῦ λαύω, ὃ σημαίνει τὸ ἀπολαύω· τοῦτο ἐκ τοῦ λῶ τὸ θέλω, γίνεται λαύω· καὶ ῥηματικὸν ὄνομα, λαῦος· καὶ τροπῇ τοῦ α εἰς ε, τοῦ δὲ υ εἰς ι, γίνεται λεῖος, οὗ πᾶς τις ἐφίεται· τὰ γὰρ λεῖα καὶ ὁμαλὰ θέλομεν, ὥςπερ τὰ κρημνώδη ἐκφεύγομεν.

Λείαξ, παρὰ τὸ λεῖον.

Λειόβατος, εἶδος ἰχθύος· παρὰ τὸ λεῖον.

Λειώδης, ὄνομα κύριον· οἱ μὲν, ἀπὸ τοῦ λεῖον λέγουσι· λεῖος γὰρ ἦν· ὡς καὶ ὁ ποιητὴς δηλοῖ, λέγων, — ὁ δ' ἐπεὶ κάμε χεῖρας ἀνέλκων Ἀτρέπτους ἁπαλάς: — οἱ δὲ, παρὰ τὸ λεῷ ἅδειν, ἤγουν ἀρέσκειν, οἷον Λεώδης καὶ Λειώδης· ἐμίσει γὰρ (φησὶ) τὰς μάχας· ὡς καὶ ὁ ποιητὴς δηλοῖ λέγων, — ἀτασθαλίαι δέ οἱ οἴῳ Ἐχθραὶ ἦσαν: — κρεῖττον δὲ λέγεσθαι παρὰ τὸ λεῖον. ζήτει εἰς τὸ ἀκτῖνα.

Λειμών, ὁ παράδεισος· διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ τὸ λείβω το καταστάζω, λειβὼν καὶ λειμών. ἔστι δὲ περιεκτικὸν, ὡς καὶ τὸ χειμών.

Λείμαξ, ὁ λειμών· παρὰ τὸν λειμῶνα γίνεται.

Λείριον, τὸ ἄνθος· παρὰ τὸ λεῖον λείριον, πλεονασμῷ τοῦ ρ, ὡς ἔγχος ἔγχει ἐγχείδιον· καὶ πλεονασμῷ τοῦ ρ, ἐγχειρίδιον. ἐκ τούτου λειριόεις· καὶ λειριόεσσα, γλυκεῖα, ἐπιθυμητή, ἡδεῖα.

Λειρόφθαλμος, εἰ μὲν σημαίνει τὴν προσηνῆ, διὰ τῆς ει διφθόγγου γράφεται, καὶ γίνεται παρὰ τὰ λείρια τὰ ἄνθη· εἰ δὲ σημαίνει τὸν ἀναιδῆ, διὰ τοῦ ι γράφεται· καὶ γίνεται παρὰ τὸ λιρός, ὃ σημαίνει τὸν ἀναιδῆ, παρὰ τὸ λίαν ὁρᾶν· οἱ γὰρ ἀναιδεῖς λίαν ὁρῶσιν· ἢ παρὰ τὸ λίαν προσρυῆναι.

Λεῖκνον, σημαίνει τὸ πτυάριον. διφορούμενον· καὶ εἰ μὲν διὰ τῆς ει διφθόγγου, σχηματίζεται οὕτως· ἐκ τοῦ λέχος, γίνεται λέχνον καὶ λέκνον· καὶ πλεονασμῷ τοῦ ι, λεῖκνον· καὶ γὰρ οἱ ἀρχαῖοι ἐν τοῖς πτυαρίοις ἐποίουν τοὺς οἰκείους υἱοὺς καθεύδειν διὰ τὸ πολύγονον. εἰ δὲ διὰ τοῦ ι, οὕτως· ἔστι λικμᾶν· ὃ γίνεται παρὰ τὸ λίαν καμεῖν· ἐξ οὗ γίνεται λίκμον· καὶ μεταθέσει τοῦ μ εἰς ν, λίκνον. τινὲς λεῖπον αὐτὸ λέγουσι· καταλείπει γὰρ τὰ χρήματα, καὶ τὰ ἄχυρα ἀποβάλλει.

Λειτουργός, ὁ τοῖς διοικηταῖς ὑπουργῶν καὶ διακονῶν· τὸ γὰρ πρυτανεῖον, ἤγουν τὸ δημόσιον, λήϊτον ἐκαλεῖτο. ἐκ τοῦ λήϊτον οὖν καὶ τὸ ἔργον, γίνεται κατὰ συστολὴν λεϊτουργός· καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον· καὶ λειτουργεῖν, τὸ ὑπηρετεῖν.

Λειχήν, παρὰ τὸ λείχω· καὶ γάρ φασιν ἐκ τοῦ λείχειν 563
τὸ πάθος ἐπαίρεται. ἢ παρὰ τὸ λεῖον, κατὰ ἀντίφρασιν, τὸ μὴ ὂν λεῖον· τραχύνει γὰρ τὸ σῶμα, ὡς τὸ, — ἁπαλοῖο δι' αὐχένος: — καίτοι παρὰ τὸν αὐχμόν· καὶ αὐχὴν, τράχηλος, παρὰ τὸ τραχύ.

Λείψανον, παρὰ τὸ λείπω λείψω· λείψανα γάρ εἰσι, τὰ ἐγκαταλείμματα. ἢ παρὰ τὸ λείβω λείψω· καὶ γὰρ ἔσπενδον ἐπὶ τῶν τεθνεώτων.

Λειψύδριον, τόπος τῆς Ἀττικῆς· παρὰ τὸ λείβω [καὶ τὸ ὕδωρ.]

* Λεωργός, ὁ τῶν ἀνθρώπον πλάστης· ἐπίθετον Προμηθέως, παρὰ Αἰσχύλῳ.

Λήϊα, τὰ σιτοφόρα χωρία· καὶ συναιρέσει, λῆα. ἐτυμολογεῖται παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ ἰέναι, λάϊον, καὶ λήϊον· παρὰ τὸ λίαν ἰέναι καὶ αὔξεσθαι τὸ σιτοφόρον πεδίον· ὅθεν καὶ λεία, ἡ τῶν τετραπόδων κτῆσις ἡ νεμομένη τὰ λήϊα.

Λεία, ἡ λαφυραγωγία, ἡ πραῖδα· καὶ ἐν διαιρέσει, ληΐς.

Ληϊάδες καὶ ληϊτίδες, ἐπὶ τῶν γυναικῶν αἱ αἰχμάλωτοι, λαφυραγωγοί, πολεμικαί.

Ληϊστοί, οἱ ἐκ λείας καὶ λῃστείας κτητοί· ἀπὸ τοῦ ληΐζω τὸ πραιδεύω. ληΐζεσθαι δὲ κυρίως, τὸ τὰ σιτοφόρα χωρία ἐκκόπτειν. ληϊστὴς οὖν ἐκεῖθεν· καὶ συναιρέσει, λῃστής. ληϊστὴς κυρίως, ὁ τὰ τετράποδα ἀπελαύνων· λεία γὰρ ἡ τούτων κτῆσις, διὰ τὸ ἐν τοῖς ληΐοις βόσκεσθαι· καταχρηστικῶς δὲ ληΐζεσθαι, καὶ ἐπὶ τῶν ἀπὸ πολέμου κτηθέντων· ἔνθεν, — οὓς μοι ληΐσατ' Ὀδυσσεύς: — καὶ, Ληϊστοὶ μὲν γάρ τε βόες: — ἀπὸ τίνος γὰρ ἂν τὸ λήϊον ὀνομάζοιτο, ἢ ἀπὸ τῶν ἐξ αὐτοῦ τρεφομένων λαῶν; λήϊα γὰρ λέγονται τὰ ἐκ πολέμου λάφυρα, ἢ τὰ ἀπὸ λῃστείας.

Λήδιον, Φιλήμων φησὶ σημαίνειν εὐτελὲς χιτώνιον, ἢ χλανίδα παλαιάν. ζήτει εἰς τὸ ἀκτῖνα. Ληδάριον, ἱμάτιον.

Λήθαργος, ἔστιν ἐκ τοῦ ἀργός.

Λήκυθος, ἀγγεῖον ἐλαιοδόχον· ἢ τὸ λεγόμενον λαγύνιον· λάχυτος τις οὖσα, παρὰ τὸ μεγάλως χωρεῖν. ἢ παρὰ τὸ κύτος λάκυτος, ἡ μεγαλόκυτος. ἢ λεῖον κύτος ἔχουσα· ἢ τὸ προχούδιον, παρὰ τὸ ἔλαιον κεύθειν.

Λῆμα, καὶ λῆμμα· οἷον τὸ θέλημα. ταύτῃ δὲ διαστέλλεσθαι χρὴ εὐλόγως τὸ λῆμμα τοῦ λήματος. τὸ μὲν γὰρ, τίθεται ἐπὶ ψυχικοῦ παραστήματος· τὸ δὲ, ἐπὶ τοῦ λαμβανομένου. καὶ ἔστι τὸ μὲν, ἀπὸ τοῦ λῶ τὸ θέλω·

τὸ δὲ, ἀπὸ τοῦ λήβω τὸ λαμβάνω. Λῆμμα, κέρδος· θράσος, δύναμις, τόλμημα, ἀξίωμα.

Λημῶ, τὸ ἀμβλυώττω· λήμη γὰρ λέγεται τὸ συνιστάμενον ἐν τῷ ὀφθαλμῷ λευκὸν ὑγρὸν, καὶ ἀμβλυώττειν παρασκευάζον· παρὰ τὸ λάω τὸ βλέπω καὶ τὴν μὴ ἀπαγόρευσιν· ἔστιν εἰς τὸ λιγνύς. Ἡρακλείδης δὲ ὁ Σωρανὸς λέγει λημᾶν λέγεσθαι τὸ ἀπολαυστικῶς βλέπειν, παρὰ τὸ λάειν, ὅ ἐστιν ἀπολαύειν. καὶ Ὅμηρος, Ἀσπαίροντα λάων: — ἔνθεν καὶ λαιμός· ἐπειδὴ καὶ τῶν ἐδεσμάτων καὶ τῶν ποτῶν οὕτως ἀπολαύει.

Λῆμνος, ἡ πόλις· παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ ὕπνος, λαύπνος· καὶ συγκοπῇ καὶ τροπῇ τοῦ α εἰς η, Λῆμνος.

564 Ληνός] παρὰ τὸ λεαίνω τὸ λεπτύνω· λεανῶ λεανός· καὶ κράσει, ληνός, παρὰ τὸ λεαίνεσθαι πατουμένης τῆς σταφυλῆς.

Ληνίς, σημαίνει τὴν βάκχην· παρὰ τὸ ληνόν· ὡς θηλυκὸν ὀξύνεται, καὶ διὰ τοῦ ι γράφεται.

Ληναιών] Ἡσίοδος, Μῆνα δὲ ληναιῶνα κάκ' ἤματα, βούδορα πάντα: — τὰ τοὺς βοῦς ἐκδέροντα διὰ τὸ κρύος· τὸν κατ' Αἰγυπτίους χύακον καλούμενον. ἐκλήθη δὲ ληναιὼν, διὰ τὸ τοὺς οἴνους ἐν αὐτῷ κομίζειν. οὗτος δὲ ὁ μὴν ἀρχὴ μηνῶν ἐστιν. οἱ δὲ ληναιῶνα φασὶν, ἐπειδὴ Διονύσου ἐποίουν ἑορτὴν ἐν τῷ μηνὶ τούτῳ, ἣν Ἀμβροσίαν ἐκάλουν· καὶ λήναιον, ἱερὸν Διονύσου.

* Λῆξις, εἶδος γραφῆς· ἀπὸ τοῦ λαγχάνειν.

Λῆρος, ὁ διαῤῥέων καὶ τὴν μνήμην λανθάνων· παρὰ τὸ λήθω λήσω λῆρος· σημαίνει τὴν φλυαρίαν· καὶ ληρεῖν, παραφρονεῖν, ματαιολογεῖν.

Λητώ, παρὰ τὸ λήθω τὸ λανθάνω. ὁ μὲν Πλάτων, φησὶν ἐλεητώ· ἐλεήμων γὰρ ἡ θεὸς καὶ πραεῖα, καὶ πάντας ἐλεοῦσα· κατὰ δέ τινας, Ληθώ· τὸ γὰρ ἥμερον καὶ πρᾶυ ἐκ τοῦ ἐπιλελῆσθαι τῶν εἰς αὐτὴν πεπλημμελημένων ἐμφαίνεται. ὁ δὲ Ἀρίσταρχος, παρὰ τὸ λῶ τὸ θέλω· ὅθεν καὶ τὸ λῇς, ἀντὶ τοῦ θέλεις, μετὰ τοῦ ι, Εὐριπίδης· καὶ τὸ λῇ τὸ θέλει, Δωρικῶς· ἐπειδὴ ὃ ἂν τις θέλῃ, παρ' αὐτῆς λαμβάνει.

Λιαρός, Ἰλιάδος λ', Καὶ ὕδατι λιαρῷ: — εὐκράτῳ, χλιαρῷ, προσηνεῖ. ἀπὸ τοῦ χλιαρός, κατὰ ἀποβολὴν τοῦ χ· τὰ γὰρ χλιαρὰ, προσηνῆ. ἢ παρὰ τὸ λῶ τὸ θέλω, γίνεται λαρόν, ὃ θέλομεν, ὡς νῶ, ναρόν· καὶ πλεονασμῷ τοῦ ι, λιαρόν. ἢ λιλῶ τὸ λίαν θέλω· καὶ ὡς μαδῶ μαδαρός, πλαδῶ πλαδαρος, οὕτω λιλῶ λιλαρός· καὶ ἀποβολῇ τοῦ λ, λιαρός· τὰ γὰρ προσηνῆ θέλομεν καὶ ἐπιθυμοῦμεν.

Λιάμαθοι, οἱ αἰπόλοι· ἀπὸ τοῦ εἶναι λίαν ἀμαθεῖς.

Λιασθείς] ἔστιν ἀλῶ τὸ πλανῶ καὶ ἐκκλίνω· ὅθεν ἀλίζω· καὶ κατὰ μετάθεσιν, λιάζω· ἐξ οὗ τὸ λιασθείς.

Λίβανος, παρὰ τὸ λίαν βαίνειν· ἢ παρὰ τὸ λείβω τὸ στάζω ἢ σπένδω, ὁ λειβόμενος καὶ σπενδόμενος· δοκοῦσι γὰρ αὐτὸν οἱ Ἰουδαῖοι ὅλον εἶναι πνεῦμα καὶ θεόν· ἀνωφερὴς γάρ ἐστιν· ὅθεν καὶ αὐτὸν σέβονται.

Λιβανωτός, ὁ καρπὸς τοῦ λιβάνου· παρὰ τὸ λείβω· καταστάζεται γὰρ ἀπὸ τοῦ φυτοῦ. λίβανος, παρὰ τὸ λείβω τὸ σπένδω, τὸ εἰς σπονδὰς καὶ θυσίας ἐπιτήδειον.

Λιβδούμεθα, ἀπὸ τῆς λιβάδος· οἱονεὶ ἐμβυθιζόμεθα· ἀφ' οὗ καὶ ἡ Ἰνὼ Βύνη ἐπεκλήθη· ἐπεὶ βεβύθισται· Εὐφορίων δὲ, βύνην τὴν θάλασσαν λέγει· οἷον, — πολύτροφα δάκρυα βύνης: — τοὺς ἅλας βουλόμενος εἰπεῖν· καὶ κατὰ συναλοιφὴν, ἀλιβδοῦμαι, οἷον εἰς ἅλα βυθίζομαι.

Λιβρός, ὁ σκοτεινός· καὶ λιβρήν, τὴν λίαν ἐρεβεννήν· διότι ἐπίθετον τῆς νυκτός. ἢ λιβηρὴν διὰ τὴν λιβάδα, διὰ τὸ ἔνδροσον τῆς νυκτός.

Λιμβρός, ἡ σκοτεινὴ νύξ· παρὰ τὸ λίαν βαίνειν.

* Λιγυηχής, ἡδέως ᾄδων· ἀπὸ τοῦ λιγύς καὶ ἠχέω.

Λιγύς, σημαίνει δύο· τὸν ἡδὺν, ὡς τὸ, — λιγὺς Πυλίων ἀγορητής: — ὁ ἡδὺς ἐν τῷ λέγειν· ἢ ὀξύς. γίνεται παρὰ τὸ λέγω λεγύς καὶ λιγύς· ἢ παρὰ τὸ λίαν εἶναι ἡδύς.

Λιγνός] παρὰ τὸ λυγός λυγνός καὶ λιγνός· ἢ παρὰ τὸ λυ- 565
γίζω, λυγινός καὶ λιγνός.

Λιγυρῇ] Μάστιγι λιγυρῇ: — λιγεῖς καὶ ὀξεῖς τοὺς ἵππους ποιούσῃ κατὰ τὸν δρόμον· ἢ ὀξὺν ἦχον ἀποτελούσῃ.

Λίγεια] τὰ εἰς α λήγοντα θηλυκὰ ἀπὸ τῶν εἰς υς ἀρσενικῶν γινόμενα, εἰ μὲν βαρύνεται τὰ ἀρσενικὰ, προπαροξύνεται τὰ θηλυκά· οἷον πρέσβυς πρέσβεια, ἥμισυς ἡμίσεια· εἰ δὲ ὀξύνεται τὰ ἀρσενικὰ, προπερισπᾶται τὰ θηλυκά. σεσημείωται τὸ ἐλαχύς, ἐλάχεια· (σημαίνει δὲ τὴν μικράν) καὶ τὸ λιγύς, λίγεια. καὶ ἔστιν εἰπεῖν, ὅτι ἀντιπαράκειται αὐτῷ τὸ λίγω, τὸ ὑμνῶ, ῥῆμα· ἐξ οὗ καὶ τὸ λιγαίνειν γίνεται παρὰ τὸ λίαν ἰαίνειν, ὅ ἐστιν εὐφραίνειν. τὰ δὲ ἀπὸ ἐνεστῶτος παρηγμένα διὰ τοῦ εια θηλυκὰ, προπαροξύνεται· οἷον μήδω, Μήδεια· λίγω, λίγεια. τὸ δ' ἐλάχεια· τὰ εἰς υς ὑπὲρ δύο συλλαβὰς συστέλλοντα τὸ υ προπαροξύνεται· οἷον, λεύκοφρυς, ἥμισυς, ἀτράφαξυς· ἔστι δὲ εἶδος βοτάνης χρυσολαχάνου. οὕτως οὖν καὶ ἔλαχυς ὤφειλεν εἶναι· ἀλλ' ἐπειδὴ τὰ εἰς υς ἔχοντα οὐδετέρου παρασχηματισμὸν, παραληγόμενα τῷ α, ὀξύνεται, οἷον πραΰς, ταχύς, τούτου χάριν καὶ τὸ ἐλαχύς ὀξύνεται. τὴν οὖν κεχρεωστημένην τάσιν τὴν ἐν τοῖς θηλυκοῖς ἀνεδέξατο.

Λιγνύς, ἡ ἀνάδοσις τοῦ πυρός, ὁ καπνός· παρὰ τὸ δεικνύω, δεικνύς τις οὖσα, ἡ δεικνύουσα τὸ πῦρ. ἢ παρὰ τὸ λίαν ἱκνεῖσθαι. καὶ λιγνυῶδες, τὸ ἀσβολῶδες καὶ καπνῶδες. Ὅμηρος, Λιγνὺν αἰθαλόεσσαν: — διαφέρει γὰρ παρ' Ὁμήρῳ καπνὸς καὶ κνίσα καὶ λιγνὺς καὶ αἰθάλη. καπνὸς γὰρ λέγεται, ὁ ἀπὸ ξύλων γινόμενος· κνίσα δὲ, ἀπὸ κρεῶν καιομένων· λιγνύς, ὁ ἀπὸ καιομένων ἐλαιωδῶν γινόμενος καπνός· αἰθάλη δὲ, ὁ ἀπὸ ἀσβέστου καπνός· τὸ αἰθαλόεν δὲ, θερμὸν ἢ λαμπρόν· σημαίνει καὶ τὸν καταιθαλωθῆναι ἄξιον· καὶ ἡ τοῦ πυρὸς ἀποφορά, καὶ ἡ τῇ ὀροφῇ προσεγγίζουσα μελανία· καὶ ἐπὶ τοῦ μελάθρου, Αὐτὴ δ' αἰθαλόεντος ὑπὲρ μεγάροιο μέλαθρα: — καὶ ἐπὶ στοᾶς, παρὰ τὸ αἰθάλην μὴ ἔχειν ἀπὸ τοῦ καιομένου πυρός· οἱ γὰρ παλαιοὶ οὐκ ἐχρῶντο ἐλαίῳ καὶ λύχνῳ, ἀλλὰ ξύλοις· Ὅμηρος, Νήησαν ξύλα πολλὰ, φάος τ' ἔμεν, ἠδὲ θέρεσθαι: — διὸ καὶ σεσημείωται τὸ, Χρύσεον λύχνον ἔχουσα.

Λήμη] ἢ παρὰ τὸ λήθω, λήσω, λέληκα, λέλημαι, λήμη· τοὺς γὰρ λημῶντας μὴ βλέποντας λανθάνοντες παρερχόμεθα· λήμη, ἡ περὶ τοὺς κανθοὺς τῶν ὀφθαλμῶν πεπηγυῖα σύστασις. ἢ παρὰ τὸ λίαν μᾶν, ὅ ἐστι ζητεῖν· οἱ γὰρ λημῶντες καὶ τοῦ φωτὸς στερούμενοι λίαν ζητοῦσιν. ἢ παρὰ τὸ λα καὶ τὸ μὴ ἀπαγορεύσεως. ἐν τῷ τέλει τίθεται, ὁμοίως τῷ χελώνῃ, ὅπερ γίνεται παρὰ τὸ κέλλω τὸ τρέχω, καὶ τὸ νη στερητικὸν μόριον.

Λίθος, παρὰ τὸ λίαν θέειν, κατὰ ἀντίφρασιν.

Λικριφίς, ἔστιν ἐπίῤῥημα, καὶ σημαίνει τὸ πλαγίως· λέχριον γὰρ τὸ πλάγιον· οἷον λεκριφίς. ἢ παρὰ τὸ ἴκρια τὰ πλάγια ξύλα ἰκριφίς, καὶ πλεονασμῷ τοῦ λ. ἄλλοι δὲ παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ κύπτειν, λικυφίς, κατὰ μετάθεσιν τοῦ υ εἰς ι· παρὰ τὸ λίαν κεκυφέναι· καὶ πλεονασμῷ τοῦ ρ, λικριφίς.

Λιλαιόμενοι] — ὀλοοῖο λιλαιόμενοι πολέμοιο: — ἐπιθυ-
566 μοῦντες. παρὰ τὸ λῶ, διπλασιασμῷ, γίνεται λιλῶ τὸ πάνυ θέλω· καὶ λιλαίω κατὰ παραγωγὴν, ὡς κερῶ, κεραίω· περῶ, περαίω.

Λιμός. ἡ λεῖψις τῶν ἐπιτηδείων. γίνεται παρὰ τὸ λείπω λείψω, λιμός· καὶ ὤφειλε διὰ διφθόγγου γράφεσθαι· ἀλλὰ συνέπαθεν ἡ φωνὴ τῷ σημαινομένῳ· ἐπειδὴ γὰρ ἔνδειαν δηλοῖ, τούτου χάριν καὶ ἔνδειαν φωνήεντος ἀνεδέξατο, ὁ Τρύφων· ὁ δὲ Ἀπολλώνιος, ἐξ ἀφορμῆς τοῦ λιμπάνω. Ἰστέον ὅτι παρὰ μὲν τοῖς Ἀθηναίοις, ἀρσενικῶς λέγεται ὁ λιμάς· παρὰ δὲ τοῖς Δωριεῦσι, θηλυκῶς ἡ λιμός. ἔστιν εἰς τὸ λοιμός.

Λίμνη, τὰ συνεστῶτα ὕδατα· παρὰ τὸ λίαν καὶ διόλου μένειν· διὸ καὶ ὁ Ὠκεανὸς, ἀκκλαρείτης ὢν, λίμνη κέκληται· Ἠέλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην: — οὕτως εὗρον ἐν ὑπομνήμασι τῆς Ἰλιάδος. καὶ ἐν ἄλλῳ, παρὰ τὸ λείβειν, ὅ ἐστι ῥεῖν. καὶ λιμὴν ὁμοίως, παρὰ τὸ λίαν μένειν ἐν αὐτῷ τὸ ὕδωρ. λίμνη λέγεται καὶ ἐπὶ τῆς θαλάσσης.

Λίμνη, σημαίνει τρία· ἐπὶ τῆς θαλάσσης, — βαθείῃ δ' ἔμπεσε λίμνῃ: — ἐπὶ τοῦ Ὠκεανοῦ, ὡς εἴρηται· καὶ ἐπὶ τοῦ συνήθως ἡμῖν νοουμένου, Λίμνῃ κεκλιμένος Κηφισίδι.

· Λιμβός, παρὰ τὸ λίαν καὶ τὴν βόσιν τὴν τροφήν· ὁ σφόδρα περὶ ταύτην ἔχων.

Λιμπάνω, ἀπὸ τοῦ λείπω γίνεται· τὰ γὰρ διὰ τοῦ ανω, εἰ μὲν πλεονάζει τὸ ν, συστέλλει τὴν ἀρχήν· οἷον λήθω, λανθάνω· πήθω, πανθάνω· ἥδω, ἁνδάνω· οὕτως οὖν καὶ λείπω, λιμπάνω. εἰ δὲ μὴ πλεονάζει τὸ ν, φυλάττει τὴν ἀρχήν· οἷον, αὔξω, αὐξάνω.

* Λιμὴν, ὁ ὅρμος· ἐκ τοῦ λίαν μένειν ἐν αὐτῷ τὰς νῆας.

Λιμενήοχος ἄκρα, ἡ Ἡράκλειος ἄκρα· ἐπειδὴ τοῖς πλέουσιν ἀπὸ Σινώπης μέχρι Τραπεζοῦντος τῆς Κολχικῆς ἐπὶ τρισχιλίους σταδίους, ἄλλος οὐχ ὑπόκειται πλὴν τοῦ κατὰ τὸν Ἡράκλειον.

Λιμήρη, Πίνδαρος. τοῦτο δισσόν ἐστιν· ὁπότε παρὰ τοῦ λιμένος, λιμενήρη· ἢ παρὰ τὸ λειμῶνος, λειμωνήρη, λιμήρη. οὕτως Ἡρωδιανός.

Λινόν] τὸ λῖνος, σημαίνει τὸ ἔριον· λινόν δὲ, τὸ λινοῦν. τὸ ἔριον, ἀπὸ τῆς λειότητος. ἢ τὸ λεπτὸν ὕφασμα, λινόν ἔλεγον, παρὰ τὸ λίαν νενῆσθαι.

Λιπαίνω, παρὰ τὸ λῖπος· τοῦτο παρὰ τὸ λίαν πιότητα ἔχειν. ἀπὸ δὲ τοῦ λιπάναι, γίνεται λιπαρός. τὰ γὰρ εἰς ναι ἀπαρέμφατα ποιοῦσιν εἰς ος ὀνόματα ἰσοσύλλαβα τοῖς ῥήμασι· καὶ ἢ τῷ α παραλήγεται, ἢ τῷ ε· μιάναι, μιαρός· μυσάναι, μυσαρός· χλιάναι, χλιαρός· θλιβῆναι, θλιβερός· στυγῆναι, στυγερός· τακῆναι, τακερός.

Λιπαρεῖν, σημαίνει τὸ παρακαλεῖν· παρὰ τὸ λίαν παρεῖναι τοὺς παρακαλοῦντας. ἀπὸ δὲ τοῦ λιπαρὸν γίνεται κατὰ ἀποκοπὴν, λίπα· οἷον, — λίπ' ἐλαίῳ: — ἀντὶ τοῦ λιπαρῶς ἐπίρρημα, ἢ ἐκτενῶς.

Λιπερνῆτις, θηλυκόν· τὸ ἀρσενικὸν, λιπερνήτης. σημαίνει τὸν ἐνδεῆ καὶ πτωχόν· παρὰ τὸ λείπεσθαι ἐρνέων, ὅ ἐστι φυτῶν. ἢ λιπερνήτας φησὶν Ἀριστόξενος τοὺς ἁλιεῖς καὶ θαλασσίους, ἀπὸ τοῦ τὰ τῆς ἁλὸς διαπιπράσκειν καὶ ζῆν. τινὲς δὲ λιπερνήτας τοὺς λιπόντας τὸ βλάστημα τοῦ ἄνθους τοῦ πλούτου.

· Λίπτω, σημαίνει τὸ ἐπιθυμῶ· οἷον, — λίπτοντα γάλα-
567 κτος: — ἐκ τοῦ λῶ τὸ θέλω, γίνεται παράγωγον λίπτω. ἢ παρὰ τὸ λίαν ἅπτεσθαι, ὅ ἐστι προσεγγίζειν· ὃ γὰρ ἐφίεταί τις, προσεγγίζει.

Λίς, ὁ λέων, παρὰ τὸ λιαρόν· ἔνθερμον γάρ ἐστι τὸ ζῶον. — ὥστε λὶς ἠϋγένειος: — οὗ ἡ αἰτιατικὴ, — ἐπεί τε λίν' ἤγαγε δαίμων Σίντιν: — τὸ πλῆρες λίνα, ὅ ἐστι λέοντα, Δωρικῶς. ἔδει μέντοι περισπᾶσθαι, ὡς μῦς, μῦν· Ἀριστάρχῳ δὲ ἐπείσθη ἡ παράδοσις ὀξύνειν. τὸ δὲ πληθυντικὸν παρὰ Καλλιμάχῳ λίες· καὶ λίεσιν, ὡς μύεσι. λαμβάνει δὲ καὶ ἐπίθετον ἐπὶ τῆς λείας πέτρας, ὡς τὸ, Πέτρη γὰρ λίς ἐστι, περιξεστῇ εἰκυῖα.

Λισσή] — λισσὴ ἐπικέλλεται νήσῳ: — λισσὸν τὸ ὁμαλόν· παρὰ τὸ λίαν ἴσον· Ἀμερίας δὲ ἐπὶ τοῦ ὑψηλοῦ αὐτὸ λαμβάνει. αὕτη δὲ ἡ νῆσος ὄρνιθας ἔχει τοξευούσας τοῖς πτεροῖς ὡς βέλεσι, τὰς καλουμένας Στυφελίδας. ἡ δὲ νῆσος καλεῖται Ἄρηα· ἐπειδὴ ἐν αὐτῇ ἐστιν ἐπιφανέστατον ἱερὸν Ἄρηος.

Λίστροισι, ξυστῆρσι, πτύοις· ἀπὸ τοῦ λίαν στορεννύειν δι' αὐτῶν τὴν ὑποκειμένην ὕλην.

Λίσφοι, τὰ ἰσχία οἱ Ἀττικοί· παρὰ τὸ λείπειν αὐτὰ σαρκῶν. δύναται καὶ λέσφοι εἶναι κατὰ τὴν ὀσφύν.

Λίσσεσθαι, παρὰ τὸ λίαν ἵζω. τὸ θέμα. λίσσω· ὁ μέλλων, λίσω. ἢ παρὰ τὸ λιτῶ τὸ παρακαλῶ· ἢ, ὥς φασι τινὲς, ἀπὸ μέλλοντος παρήχθη εἰς ἐνεστῶτα, καὶ ἐγένετο πλεονασμῷ ἑτέρου σ, λίσσω· καὶ σημαίνει τὸ ἱκετεύω. Ἰλιάδος α', Δία λίσαι.

Λιτέσθαι] ὤφειλε προπαροξύνεσθαι, ὡς τὸ ἔρεσθαι, πύθεσθαι, ἐπειδὴ μέσου ἀορίστου δευτέρου ἐστί· προπαροξύνεται ὁμοίως τῷ δέρεσθαι καὶ φέρεσθαι ἐνεστῶτος. οὕτω καὶ ἐπὶ τοῦ, — κῆρα λιτέσθαι: — ὤφειλε μὲν προπαροξύνεσθαι, ὅτι ἐνεστώς ἐστιν, ἀπὸ τοῦ λίτομαι βαρυτόνου· ἀλλ' ἐπεὶ τὰ εἰς θαι ἀπαρέμφατα τῷ ε παραληγόμενα, οὐκ ὄντα ἀπὸ τῶν εἰς μι, ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλους συλλαβῇ τὸ ι συνεσταλμένον, μὴ ἐπιφερομένου αὐτῷ διπλοῦ, παροξύνεται, οἷον λιπέσθαι, ἱκέσθαι, πιθέσθαι· οὕτως οὖν καὶ λιτέσθαι, οὐ τῷ λόγῳ τοῦ ἐνεστῶτος παροξύνεται, ἀλλὰ τῷ χαρακτῆρι.

Λίταργος κύων, σημαίνει τὸν ταχύν· παρὰ τὸ λίαν ἀργὸν εἶναι, ἤγουν ταχύν.

Λιτός, ὁ πένης καὶ δημότης· ἢ ὁ ἐκ λιτανείας ζῶν· ἢ ὁ ἐπὶ τῆς γῆς κοιμώμενος. λιτὸς σημαίνει καὶ τὸν εὐτελῆ χιτῶνα καὶ ἀποίκιλον· παρὰ τὸ λεῖος. τὰ διὰ τοῦ ιτος ἀποστρέφεται τὴν ει δίφθογγον, σῖτος, μῖτος, τρίτος, λιτός.

Λιτί] — ἑανῷ λιτὶ κάλυψαν, Ἰλιάδος σ', ἀντὶ τοῦ λεπτῷ πέπλῳ· ἢ λιτῷ καὶ ἀποικίλτῳ ὑφάσματι, ὅ ἐστι λινῷ. οἱ δὲ, ἐξ ἀντιφράσεως, τῷ ποικίλῳ. οἱ δὲ, ὅ φασιν Ἀττικοὶ ληΐδιον. δεῖ δὲ ὀξύνεσθαι τὸ λιτί, κατὰ τὸν κανόνα Ἡρωδιανοῦ· Πᾶσα δοτικὴ δισύλλαβος, ἐπὶ ὀνόματος ὀξύνεσθαι θέλει, φωτί, θητί. εἰσὶ δὲ οἳ προπερισπῶσιν· οὐ καλῶς. παραιτητέον δὲ τὸν Ἀσκαλωνίτην, οἰόμενον ἀπὸ τῆς λίς εὐθείας κεκλίσθαι τὴν λιτί δοτικὴν, καὶ λῖτα αἰτιατικήν· οὐ γάρ ποτε ἔμελλε τὰ εἰς ις μονοσύλλαβα διὰ τοῦ τος κλίνεσθαι· μετάπλασις δέ ἐστιν· ἀπὸ τοῦ λιτόν λιτοῦ τῷ λιτῷ, καὶ λιτί, ὡς ἀπὸ τοῦ κλάδος κλάδου τῷ κλάδῳ, κατὰ μεταπλασμὸν κλαδί. καὶ ἡ αἰτιατικὴ ὁμοίως κατὰ μεταπλασμὸν, ἐκ 568
τοῦ λιτόν λῖτα, ὡς ἐκ τοῦ κρόκη κρόκα· οἷον, — κατὰ λῖτα πετάσας, Ἰλιάδος θ', ἀντὶ τοῦ ἱμάτιον λινοῦν ἢ λιτὸν καταπετάσας, τουτέστιν ἁπλώσας. οὐχ ὁμότονος δὲ ἡ λῖτα τῇ λιτόν· ἐπειδὴ πᾶσα αἰτιατικὴ εἰς α λήγουσα βαρύνεται.

Λίχνοι, οἱ πολυπράγμονες καὶ ὀψοφάγοι ἢ λαίμαργοι· παρὰ τὸ λίαν χαίνειν, ἢ ἰχαίνειν, ὅ ἐστιν ἐπιθυμεῖν.

Λιχμώμενος, περιλείχων, ἀποσπογγίζων· ἀπὸ τοῦ λιχμῶ δευτέρας συζυγίας τῶν περισπωμένων· τοῦτο ἀπὸ τοῦ

λείχω πλεονασμῷ τοῦ μ. τὸ λι, ι. διατί; ἐπειδὴ πάντα ἀκόλουθα τὰ παράγωγα τοῖς πρωτοτύποις.

Λίψ, σημαίνει τὸν ἄνεμον καὶ τὴν ἧτταν, καὶ λιβάδα. ἀμφότερα παρὰ τὸ λείβω λείψω γέγονεν· ἢ παρὰ τὸ λείπω λείψω. τὰ δὲ εἰς ψ λήγοντα πάντα τὴν δίφθογγον ἀποστρέφεται, κνίψ, κνιφὸς καὶ κνιπός· Νίψ νιβός, ὄνομα κρήνης. οὕτω καὶ λίψ λιβός. ὁ δὲ ἄνεμος λέγεται, καθὰ λείπει ὁ ἥλιος.

Λοιγός, ὁ ὄλεθρος. παρὰ τὸ λείπω λοιπός καὶ λοιγός· λεῖψιν γὰρ τῶν ἀνθρώπων ἐργάζεται. τὸ δὲ λοιμός, σημαίνει τὴν λοιμικὴν νόσον· μεταφορικῶς δὲ τὸν βλαπτικὸν ἀέρα. γίνεται γὰρ παρὰ τὸ λείπω λοιπός, καὶ λοιμός ἡ φθορά. ἢ παρὰ τὸ λίαν μᾶν, πλεονασμῷ τοῦ ο. ἢ παρὰ τὸ λιμός. λιμὸς μέν ἐστιν ἔνδεια σίτου· λοιμὸς δὲ, ἔνδεια τῶν σωμάτων. γράφεται τὸ λι, ι· πολλὰ γάρ εἰσιν ὀνόματα ἀπὸ ῥημάτων γινόμενα γραφομένων τῶν ῥημάτων διὰ διφθόγγου, τῶν δὲ ὀνομάτων διὰ τοῦ ι· οἷον, πείθω, πιθανός· οἰκτείρω, οἰκτιρμός· σείω, σῖτος· νείφω, νιφετός· λείχω, λιχανός. ἢ παρὰ τὸ λίαν χαίνειν· ἢ ὅτι πολλά εἰσι συμπάσχοντα τῷ δηλουμένῳ· οἷον χείρ, διὰ διφθόγγου· χιράς δὲ, πάθος περὶ τὴν χεῖρα, διὰ τοῦ ι. καὶ ἐμιμήσατο τὸ πάθος ἡ γραφή. ἢ ὅτι τὰ εἰς μος ὀξύτονα τῷ υ ἐκτεταμένῳ παραλήγονται, οἷον θυμός, ῥυμός, δρυμός. σεσημείωται τὸ λοιμός διὰ τῆς οι διφθόγγου γραφόμενον. τὰ εἰς μος καθαρὰ δισύλλαβα διφθόγγῳ παραληγόμενα, ἀπὸ συμφώνου ἀρχόμενα, σπάνια εἰσὶ, καὶ ὀξύνονται· οἷον λαιμός. λοιμός· τὰ δὲ μὴ ἀπὸ συμφώνου ἀρχόμενα, βαρύνονται, οἷον Αἶμος, οἶμος.

Λοιδορία] παρὰ τὸ λοιμός, λοιμορία καὶ λοιδορία· ἢ παρὰ τὸ βάλλειν τοὺς λόγους ὡς δόρατα.

Λοῖσθος, ὁ ἔσχατος. παρὰ τὸ ὄλισθος, καθ' ὑπέρθεσιν τοῦ λ, λοῖσθος καὶ λοίσθιος, οἷον ὁ ἐξολισθήσας καὶ ἐμποδισθείς. ἢ παρὰ τὸ λείπω, λόστος καὶ λοῖσθος. ἢ παρὰ τὸ λάσθη, ὃ σημαίνει τὴν λοιδορίαν, λαῖσθος καὶ λοῖσθος· ὁ γὰρ ἔσχατος ὑβρίσται.

Λοῦτρον, βαρύνεται· ἐπειδὴ πᾶν εἰς τρον λῆγον ἀπαρασχημάτιστον βαρύνεται, κέντρον, δένδρον, σεῖστρον· τὸ δὲ λουτρόν, πρὸς διαφορὰν σημαινομένου· ἐπὶ μὲν γὰρ τοῦ τόπου, βαρύνεται· ἐπὶ δὲ τοῦ ὕδατος ᾧ λουόμεθα, ὀξύνεται.

Λουτρά, τὰ εἰς λύσιν ἄγοντα τῆς ἀκαθαρσίας· καὶ γὰρ λῦμα καλεῖται ὁ ῥύπος. Λύματα πάντα κάθηραν.

Λουτρόν, παρὰ τὸ λούω, τὸ λοῦον· οὐ γὰρ αὐτοὶ καθαίρομεν τὸ ὕδωρ, ἀλλὰ καθαιρόμεθα. δεῖ δὲ βαρύνεσθαι. ὥστε παραλόγως ὀξύνεται.

569 * Λουτροφόρος, τὰ λουτρὰ φέρων τοῖς γαμοῦσι· οἷς ἔθος ἦν κατὰ τὴν τοῦ γάμου ἡμέραν τὰ λουτρὰ μεταπέμπεσθαι ἐκ τῆς ἐννεακρούνου καλουμένης κρήνης Ἀθηναίοις, ἣ καὶ Καλλιῤῥόη καλεῖται. ἔθος δὲ ἦν καὶ τῶν ἀγάμων ἀποθανόντων λουτροφορεῖν. ταῦτα δὲ ἀμφότερα ποιῶν ἦν παῖς ἄῤῥην ὁ ἐγγύτατα γένους.

Λοεσσάμενος] ἔστι λουσάμενος· καὶ κατὰ διάλυσιν τῆς ου, γίνεται λοεσάμενος. τὸ γὰρ λούω γίνεται ἀπὸ τοῦ ὀλύω καθ' ὑπερβιβασμόν.

Λοβοί. λοβοί λέγονται τὰ κάτω μέρη τῶν ὤτων, Ἰλιάδος ξ· παρὰ τὸ λαμβάνειν τι καὶ δέχεσθαι, λαβός καὶ λοβός· οἷον, Εὐτρήτοισι λοβοῖσι: — τοῖς ἄκροις τῶν ὠτίων τοῖς ἁπαλοῖς, τοῖς καλῶς τετρημένοις. καὶ παρὰ τοῖς θυτικοῖς τὰ κάτω μέρη τοῦ ἥπατος οὕτω λέγεται. καὶ ἀγγεῖον ἐρεβίνθης καὶ κυάμου. Λοβοὶ λέγονται, ἐπειδὴ μαρτυρόμενοι τινὶ λαμβανόμεθα αὐτῶν· οἱ δὲ, ὅτι λαβόμενοι τινὰς ἀποτέμνουσι ταῦτα τὰ μέρη.

Λογάδες, οἱ ἐκλεκτοί. εἴ ποτ' ἀνάγκη γένοιτο ἐκπέμψαι στρατιὰν, ἢ ἐνεστήκοι τὶς ἄλλος κίνδυνος, κατάλογος ἐλέγετο τῶν ἐπιτηδείων πρὸς τὰς μάχας. οὗτοι οὖν λογάδες ἐκαλοῦντο. καὶ παρὰ τὸ ἐκλέγω καὶ διαλέγω λεκτός. ἀπὸ μὲν οὖν τοῦ λέγω λεκτός, καὶ ἐκλεκτός, σύνθετον ὀξύτονον· ἀπὸ δὲ τοῦ ἐκλέγω συνθέτου παρασύνθετον, διάλεκτος, βαρύνεται. ἔστιν εἰς τὸ λύχνος.

Λογεῖον, σημαίνει εἶδος κρατῆρος· καὶ τὸν τόπον τοῦ θεάτρου. ὥσπερ γὰρ ἀπὸ τοῦ αἰδῶ γίνεται αἰδεῖον, κείρω κουρεῖον, σκάφω σκαφεῖον, γράφω γραφεῖον, οὕτω καὶ ἀπὸ τοῦ λέγω λογεῖον· καὶ γὰρ τὰ ἀπὸ τῶν εἰς ω ῥημάτων διὰ τοῦ ειον παραγόμενα, προπερισπᾶται, καὶ διὰ τῆς ει διφθόγγου γράφεται.

Λογισταί, ἄρχοντες εἰσὶ κληρωτοὶ δέκα· ἐφ' ὧν πάντες οἱ ἄρξαντες ἀρχήν τινα, λόγον ἀπέφερον τῶν διῳκημένων.

Λόγχας] λόγχας τὰς μερίδας Ἴωνες λέγουσιν. Ἴων ἐν Κίου κτήσει, ἐκ τῆς Τέω λόγχης λόγχας ποιεῖν: — εἴρηται δὲ παρὰ τὴν λῆξιν, λάχην τινα οὖσαν· καὶ κατὰ μετάθεσιν τοῦ α εἰς ο, καὶ πλεονασμῷ τοῦ γ, λόγχη. παρὰ τὴν λόγχην καὶ ῥῆμα λογχῶ· ὁ παρακείμενος λελόγχηκα· ὁ μέσος παρακείμενος, λέλογχα.

Λογγών] ἐν Συρακούσαις λιμένες εἰσὶ διττοὶ λογχῶνες. λογγῶνες δὲ καλοῦνται, οἱ ἐπὶ τῶν λιμένων τρητοὶ λίθοι· οὓς τρυπῶσιν, ἵν' ἐξαρτῶσι τὰ σχοινία τῶν νεῶν ἐξ αὐτῶν· τοὺς δὲ τοιούτους λίθους καὶ λογγάσια ἔλεγον.

Λοξίας ὁ Ἀπόλλων· ὡς μὲν οἱ Πυθαγορικοὶ, ἀπὸ τοῦ λοξὴν ἔχειν τὴν ἴαν, τουτέστι τὴν φωνήν· ἢ παρὰ τὸ λοξῶς ἰέναι τὸν ἥλιον διὰ τοῦ ζωδιακοῦ· καὶ λοξίας, ὁ λοξὴν κίνησιν κινούμενος· ὁ αὐτὸς γὰρ τῷ ἡλίῳ. τὸ δὲ λοξός, παρὰ τὸ λέχος ἡ κοίτη.

Λόπος, τὸ λέπισμα· παρὰ τὸ λέπω ῥῆμα. Ὅμηρος, Οἷον δὲ κρομύοιο λοπός.

Λόφος, ὁ ὑψηλὸς τοῦ ὄρους τόπος· παρὰ τὸ λέπω τὸ λεπτύνω. ἔνθεν καὶ λοπός τὸ τοῦ κρομύου λεπτόν. ἢ λόφοι πάντα τὰ μετέωρα καὶ εἰς ὕψος ἀνέχοντα, ἀπὸ μεταφορᾶς τῶν βοῶν· λόφος γὰρ ἐπ' αὐτῶν, ἀπὸ τοῦ λέπεσθαι καὶ ἐκδέρεσθαι. παρὰ τὸ λέπω τὸ λεπίζω λόπος καὶ λόφος· ἀπὸ τούτου γὰρ τοῦ μέρους ἄρχονται 570 ἐκδέρειν τὰ ζῶα. σημαίνει καὶ τὸν τράχηλον, ὡς τὸ, Ἐσβάντες κνήμας τ' ἠδὲ λόφον ἀμφί τε μηρούς: — νῦν αὐχένα, τράχηλον. λέγεται καὶ λοφίη θηλυκῶς· σημαίνει ἄκρον, καὶ τὸ ἐπανάστημα τῆς περικεφαλαίας, ὡς τὸ, Ἄκρον ὑπὲρ λόφον αὐτόν: — καὶ, — δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.

Λοφνίς] — τεὰς ἀνὰ λοφνίδας ἴσχων: — τὰς λαμπάδας. κυρίως δὲ λοφνίδες λέγονται αἱ μονόξυλοι λαμπάδες, καὶ ἄλλως παραπλήσιοι δᾷδες, κατασκευῆς τινος καὶ κόσμου γεγονυῖαι· λαμπάδες δὲ, αἱ ὁπωσδήποτε κατεσκευασμέναι, καὶ ἂν ἀκόσμως δεδεμέναι ὦσι. καὶ Ὅμηρος δὲ τὰς λέξεις ἴσως μὲν οὐκ αὐτὰς, ἀλλὰ τὸ πῦρ τὸ δι' αὐτῶν. ἔνιοι δὲ λοφνίδας λέγουσι, τὰς ἐκ τοῦ φλοιοῦ τῆς ἀμπέλου γενομένας.

Λόχος, ἡ ἐνέδρα· παρὰ τὸ λέγω τὸ ἐπιλέγομαι· ὅθεν καὶ ἐπίλεκτος· ὅτι τοιοῦτοι ἐπίλεκτοι ἐπελέγοντο εἰς τὰς ἐνέδρας. ἢ παρὰ τὸ λέχος· οἱ γὰρ λοχῶντες οἱονεὶ κοιτάζονται, καὶ ὡς εἰς λέχος ἀνακλίνονται, ἵνα ἀθεώρητοι ὦσιν. Ὣς ἄρα φωνήσαντε παρ' ἐξόδου ἐν νεκύεσσι Κλινθήτην, Ἰλιάδος κ'. παρὰ τὸ λόχος γίνεται λοχίτης, καὶ σημαίνει τὸν ἐνεδρεύοντα. τὰ δὲ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιτης γινόμενα διὰ τοῦ ι γράφεται, τό-

πος, τοπίτης· στύλος, στυλίτης· τέμενος, τεμενίτης. ἐκ τοῦ λέχους γίνεται λοχῶ λοχήσω.

Λόχμη, θάμνος, ὕλη, σύνδενδρος τόπος· παρὰ τὸ λοχᾶν ἐν αὐτῷ, τουτέστιν ἐνεδρεύειν ἐν τοῖς τοιούτοις τόποις. λοχῶ οὖν, λόχη· καὶ πλεονασμῷ, λόχμη. ὁ δὲ Φιλόξενος, παρὰ τὸ λάζω ῥῆμα, εὐληπτοτέρων ὄντων τῶν δασέων. ὁ μέλλων, λάξω· ὄνομα, λαγμός· ὡς παρὰ τὸ κράζω κράξω κραγμός· τοῦ δὲ γ εἰς τὸ χ μεταπεσόντος, λαχμός· τούτου τὸ θηλυκὸν, λόχμη.

Λώβη, ἡ ὕβρις ἡ ἐπὶ κακῷ περιβόητος. παρὰ τὸ λῶ τὸ θέλω, κατὰ ἀντίφρασιν, ἣν οὐδεὶς θέλει· ἢ παρὰ τὸ βλάβη. ἢ ἐκ τοῦ λωβός· τοῦτο ἐκ τοῦ λοβός, τοῦ διὰ τοῦ ο μικροῦ κατ' ἐπαύξησιν· ἀπὸ μεταφορᾶς τῶν ἠκρωτηριασμένων· οἱ γὰρ παλαιοὶ τοὺς ἔν τινι ἀτοπήματι ἁλόντας ἐνυβρίζοντες, τὰ ἄκρα τῶν ὤτων ἀπέτεμνον, ὡς καὶ ὁ ποιητὴς πρὸς τὴν Ἶριν. καὶ ταῦτα ὁ Ὠρίων· ὁ δὲ Ἡρωδιανὸς λέγει, ὅτι ἐκ τοῦ λαβή, ὃ σημαίνει τὸ ξίφος, γίνεται λάβη καὶ τροπῇ τοῦ α εἰς ω, λώβη, ὡς φάρος φωριαμός. τὸ λω, μέγα· τὰ εἰς βη λήγοντα δισύλλαβα βαρύτονα φύσει μακρᾷ θέλουσι παραλήγεσθαι· οἷον, ἥβη, Θήβη, στίβη.

Λώϊον, παρὰ τὸ λῶ τὸ θέλω· καὶ τὸ συγκριτικὸν, λῴων, ὡς ῥᾴων· καὶ ὄνομα ἐξ αὐτοῦ, λώϊος, καὶ λώϊον· τὸ γὰρ καλὸν πάντες θέλομεν· κρεῖσσον, βέλτιον· ὃ γὰρ νοεῖ τις ἑαυτῷ συμφέρον, τοῦτο καὶ θέλει.

Λῷστοι, βέλτιστοι, ἠγαπημένοι, πεποθημένοι. ἔστι δὲ ὄνομα ὑπερθετικὸν ἀπὸ τοῦ λῶος.

Λῶμα, τὸ γυναικεῖον, ὃ ὑπὸ Ἀττικῶν ὄχθοβος λέγεται. λῶμα λέγεται καὶ τὸ εἰς τὸ κατώτερον τοῦ ἱματίου ἐπίβλημα, ἐκ βύσσου καὶ πορφύρας καὶ κόκκου.

* Λωποδύτης, ὃς ἀποδύει τοὺς παριόντας τὰς ἐσθῆτας· παρὰ τὸ λῶπος τὸ ἱμάτιον, καὶ δύω τὸ ἀποδύω· λῃστής.

571 Λῶπος, τὸ ἱμάτιον· ἀναλογεῖ γὰρ τῇ λωπίᾳ τῷ δέρματι.

Λωτεῦντα, ἀνθοῦντα· ἤγουν λωτὸν ἔχοντα· λωτὸς δέ ἐστιν εἶδος βοτάνης. ἀπὸ τοῦ λωτόεντα, ὑπερθέσει λωτέοντα· καὶ κράσει τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον, λωτεῦντα. εἰ γὰρ ἦν ἀπὸ τοῦ λωτέοντα, λωτοῦντα ὤφειλεν εἶναι.

Λωφῶ λωφήσω, πρώτης συζυγίας ἐστί. κυρίως δὲ λωφῆσαι, τὸ παύσασθαι, ἐπὶ τῶν ὑποζυγίων, τὸ ἀποθέσθαι ἀπὸ τοῦ λόφου τὸν ζυγόν, καὶ ἀπολύεσθαι ἀπὸ τῶν ἔργων. ἐκ τοῦ οὖν λόφος, λοφῶ, κατ' ἐπαύξησιν τοῦ ο εἰς ω· καὶ ἔστιν ἡ λέξις μεταφορικὴ, ἀπὸ τῶν βοῶν τῶν ὑπὸ λόφον, ἢ ἐν τῷ λόφῳ ἀναπαυομένων, ἡνίκα ἀνεθῶσι τοῦ ζυγοῦ, ὡς τὸ, Τειρόμενοι καμάτῳ μετελώφεον: — σημαίνει τὸ παύω. καὶ λωφήσασα, παυσαμένη, λήξασα. μετενήνεκται ἡ λέξις ἀπὸ τῶν τὰ φορτικὰ κατατιθεμένων.

Λυαῖος, ἀπὸ τῆς λύσεως τοῦ ῥάμματος· προσεῤῥάφη γὰρ τῷ μηρῷ τοῦ Διός. ἢ παρὰ τὸ λύεσθαι τῷ οἴνῳ τοὺς μεθυσκομένους.

Λυγαῖον, τὸ φοβερὸν, ἢ τὸ σκοτεινόν· παρὰ τὸ λύειν τὸ αὖγος, καὶ μὴ ἐᾶν στῆναι αὐτό. καὶ Ὅμηρος, Νύχθ' ὑπὸ λυγαίην.

Λύγος, τὸ σκότος οὐδετέρως· ἀπὸ τοῦ λύειν τὴν αὐγήν· καὶ τὸ κρύπτεσθαι ὑπολυγίζεσθαι λέγουσι. σημαίνει δὲ καὶ φυτὸν, ὡς ἐν τῷ μ στοιχείῳ εἰσόμεθα.

Λύθρος, τὸ μετὰ κονιορτοῦ αἷμα· κυρίως τὸ τοῦ λύματος καὶ καθάρματος δεόμενον. λέγεται καὶ ἡ ἀκαθαρσία.

Λύη, ἐπὶ τῆς στάσεως. παρὰ τὸ λύειν τὴν ὁμόνοιαν· καὶ λύμη ἡ φθορὰ, ἡ λύουσα τὸ σῶμα· ὅθεν καὶ λυμαίνω.

Λυκέα, ἀγὼν ἐν Ῥώμῃ· συνήθεια δέ ἐστιν αὐτοῖς δορὰς ἔπαθλον διδόναι.

Λύκιον, τόπος ἐστὶ Θετταλίας· ἔνθα λύκος ἐπιὼν τοῖς τοῦ Πηλέως βουσὶν, ἀπελιθώθη.

Λυκόφως] τινὲς λυκόφως τὸ σκοτεινὸν, οἷον διαλελυμένον φάος ἢ αὐγὴ διαλυθεῖσα· ἢ λυκόφως λέγεται τὸ μετέχον σκότους καὶ φωτός· ἀπὸ μεταφορᾶς τῶν τριχῶν τῶν λύκων, αἵτινες τὸ μὲν κάτω μέρος τὸ πρὸς τῷ δέρματι, λευκὸν ἔχουσι· τὸ δὲ ἄνω, μέλαν.

Λύμη, φθορά τις ἐστὶν ἐπὶ ψυχὴν διαβαίνουσα· παρὰ τὸ λύω. σημαίνει δὲ τὴν ἀκαθαρσίαν.

Λυμαντὴρ] — δαιτῶν ἀπολυμαντῆρα: — ἡ ἀπὸ παρέλκει. λυμαντῆρα, τὸν καθαρτῆρα τῶν δαιτῶν, τὸν ἐκ τῶν σκυβάλων τὰ βρώσιμα ἀποκαθαίροντα· ἢ τὸν ἐσθίοντα καὶ λυμαίνοντα τὰς δαῖτας.

Λυκωρεία, πόλις Δελφίδος, ἐν ᾗ τιμᾶται ὁ Ἀπόλλων· ἀπὸ Λυκώρου κτίσαντος αὐτήν, υἱοῦ Κωρυκείας, οἰκούντων ἐν τῷ Παρνασῷ· καὶ τὸ παρακείμενον ὄρος ἐκάλεσε Κωρύκειον ἀπὸ τῆς ἑαυτοῦ μητρὸς Κωρυκείας.

Λύπη, παρὰ τὸ λύειν εἰς δάκρυα τοὺς ὦπας, λυώπη τὶς οὖσα· ἢ διὰ τὸ λυμαίνεσθαι δι' αὐτῶν τοὺς ὦπας. οὕτω Σωρανός· ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ λύω, λύη· καὶ πλεονασμῷ τοῦ π, λύπη· λύσις γὰρ ψυχῆς τὸ πάθος τὸ λυπηρόν· διαιρεῖται δὲ εἰς δ', εἰς ἄχος, ἄχθος, φθόνον, καὶ ἔλεον. ἡ λύπη, λείπη τίς· ἐπὶ λείψει γὰρ συνίσταται.

Λύτρον, παρὰ τὸ λύω λύσω· ὅθεν καὶ λύρα, λύτρα τὶς 572
οὖσα· ἐδόθη γὰρ τῷ Ἀπόλλωνι παρὰ τοῦ Ἑρμοῦ, ὑπὲρ ὧν ἔκλεψε βοῶν τοῦ Ἀπόλλωνος ὁ Ἑρμῆς.

Λύσσα, ἡ μανία· παρὰ τὸ λύειν τὸν νοῦν· παρὰ τὴν λύσιν τῶν κατὰ ψυχὴν λογισμῶν, καὶ τοῦ παλαιοῦ τῶν φρενῶν κατασπέρματος· ἢ παρὰ τὸ ἀφέτους εἶναι τοὺς κατεχομένους ἐξ αὐτῆς.

* Λυσιτελεῖ, συμφέρον ἐστί· παρὰ τὸ λύειν τὰ τέλη· λύειν γὰρ τὰ τέλη, συμφέρει ταῖς πόλεσι.

Λῦτο] Λῦτο δ' ἀγών, Ἰλιάδος ω'. εἰ μέν ἐστι μέσος ἀόριστος β' ἀπὸ τῶν εἰς μι, ὥσπερ ἤδη ἐπίσταται λέγεσθαι, (οἷον, Νῦν δ' ἐλύμην τρὶς τόσσα πορών: — καὶ, Τῆς δ' ἄρα κλαιούσης λύτο γούνατα) ἔκτασις ἐγένετο διὰ τὸ μέτρον· εἰ δὲ παρατατικὸν τινὲς ἐκδέχονται, δύναται εἶναι κρᾶσις ἀπὸ τοῦ ἐλύετο λῦτο, ὡς τὸ ῥύεσθαι, ῥῦσθαι· καὶ ἰχθύες, ἰχθῦς. ἢ ἀπὸ τοῦ ἐλέλυτο, ὡς βέβλητο, βλῆτο.

Λύχνος, ἀρσενικῶς· λέγεται καὶ τὸ λύχνον, οὐδέτερον, ὡς παρὰ Ἱππώνακτι· παρὰ τὸ λύειν τὸ νύχος, τουτέστι τὸ σκότος, λυόνυχος καὶ λύχνος· οὕτως Ἀριστόνικος ἐν τῷ περὶ σημείων τοῦ Ὁμήρου. Λύχνα, ὡς παρὰ Καλλιμάχῳ, — λύχνα φανείη: — κατὰ μεταπλασμόν· οὐδὲ γάρ ἐστιν εὐθεῖα τὸ λύχνον, ὥσπερ οὐδὲ τὸ δάκτυλον· ἀλλ' ἀπὸ τοῦ ὁ λύχνος οἱ λύχνοι, μεταπλασμὸς γένους, τὰ λύχνα, ὡς ὁ δάκτυλος οἱ δάκτυλοι τὰ δάκτυλα. Δεῖ δὲ εἰδέναι, ὡς ὁ τοιοῦτος μεταπλασμὸς ἐπὶ προσηγορικοῦ γίνεται ὀνόματος· ἔνθα μὴ δυνατὸν τῇ εὐθείᾳ τοῦ οὐδετέρου τὴν γενικὴν παραδέξασθαι· ἐν γὰρ τοῖς ἐπιθέτοις πάντα κατὰ ἀναλογίαν ἀποτελεῖται· τὸ οὐδέτερον ἐν παρασχηματισμῷ, ὁ καλός, τὸ καλόν· διὸ καὶ τὴν εὐθεῖαν τῶν πληθυντικῶν τὰ καλὰ, οὔ φαμεν μεταπλασμὸν ἀπὸ τοῦ οἱ καλοὶ ἀρσενικοῦ πληθυντικοῦ γεγονέναι· πρόσκειται γὰρ ἡ εὐθεῖα ἑνικὴ τοῦ οὐδετέρου ἀνάλογος.

Λογχάδες, τὰ ἐπὶ τῶν ὀφθαλμῶν λευκά. Καλλίμαχος, —

ὅςτις ἀλιτροὺς Αὐγάζειν καθαραῖς οὐ δύναται λοχάσιν: — εἴρηται δὲ οἷον λοχάδες, ἐν αἷς αἱ κόραι λοχῶσι, καὶ οἷον λέχος εἰσὶν αὐταῖς. ἢ οἷον λευκάδες, κατὰ συγγένειαν τοῦ κ πρὸς τὸ γ. ἢ ὅτι λοξοῦνται ἐν τῷ βλέπειν κατὰ τὰς ἐπιστροφάς. Σώφρων ἐν Θυνοθήραις, λοξῶν τὰς λογχάδας: — οὕτω Σωρανός.

* Λυχνοῦχος, ὁ φέρων τοὺς λύχνους· ἀπὸ τοῦ ἔχειν καὶ λύχνος.

## Μ.

572 Μῦ τὸ στοιχεῖον, ὅτι μυγμόν τινα ἔχει ἡ τούτου ἐκφώνησις. μυγμὸς δέ ἐστιν, ὁ τοῦ μῦ ἦχος διὰ τοῦ μυκτῆρος ἐξερχόμενος.

Μαγίστερ, διδάσκαλε, ἐπιστάτα. λέγεται δὲ καὶ ὁδηγός.

Μάγος, παρὰ τὸ μάσσω τὸ μαλάσσω, ὁ διὰ τῶν μαγικῶν ἐμπλάστρων τὰ μέλλοντα προλέγων.

Μαγγανεία, ἐκ τοῦ μαγγανεύω· τοῦτο παρὰ τὸ μάγγανον. ἐκ δὲ τοῦ ἄγω, ἄγανον, καὶ μάγγανον.

Μαγίς, ἡ τράπεζα ἔνθα τὰ μεμαγμένα. μαγίς δὲ λέγεται
573 παρὰ Ἄραψι τὸ σκουτάριον. λέγονται δὲ μαγίδες καὶ οἱ μετάπολλοι, ὡς ἀπομάττουσι καὶ καθαίρουσιν. ἔτι μαγίδες, μάζαι· τουτέστιν ἄρτοι οὓς καταφέρουσιν οἱ εἰς Τροφωνίου κατιόντες.

Μάγειρος, παρὰ τὸ μάσσω· Ἡρωδιανός· οἷον ὁ τὰς μάζας μερίζων· ὁ δὲ Φιλόξενος πλεονασμὸν λέγει τοῦ μ· παρὰ τὸ ἀγείρειν τὸ συναθροίζειν, ἤτοι ἐξ ὧν ἀρτύει, ἢ ὧν παρασκευάζει ὄψων.

Μαγνῆτις] ὅτι ἡ τὸν σίδηρον ἕλκουσα λίθος καλεῖται σιδηρίτις καὶ Ἡράκλεια καὶ Μαγνῆτις καὶ Λυδία· σιδηρίτις μὲν, ἀπὸ τῆς δυνάμεως ἣν περὶ τὰ σίδηρα ἐπιδείκνυται. εἰ βούλει δὲ, καὶ ἐπὶ τῆς ὄψεως· ἐμφερὴς γάρ ἐστι κατὰ τὴν χροιὰν ἀργῷ καὶ ἀκαθάρτῳ σιδήρῳ. Φασὶ δὲ καὶ διότι ἐξ ἀρχῆς εὕρηται συμμεμιγμένη τοῖς τοῦ σιδήρου μετάλλοις. Ἡράκλεια δὲ, ἢ διὰ τὸ ἰσχυρὸν καὶ κρατερὸν τῆς ὁλκῆς· ἢ μᾶλλον διότι περὶ Ἡράκλειαν τὸ πρῶτον ἐφάνη· οἱ μὲν, περὶ τὴν ἐν Πόντῳ φασίν· οἱ δὲ, περὶ τὴν ἐν Σαμοθράκῃ. Μαγνῆτις δὲ, ὅτι (ὥς φασιν) ἄνδρες λιθοφόροι Μάγνητες εὗρον αὐτῆς τὴν ἐνέργειαν· αἱ γὰρ κρηπῖδες, ὡς ἔοικε, λίθους ἔχουσι βαδιζόντων ἠρέμα.

* Μάδδα, ἀντὶ τοῦ μάζα, Δωρικῶς· ἀπὸ τοῦ μάττειν.

Μάζα, ἡ τροφή· ὅθεν καὶ ὑπερμαζᾷ, τὸ ὑπερτρυφᾷ, πλουτεῖ, στρηνιᾷ. Ἡσίοδος, Μάζα τ' ἀμολγαίη: — ἄρτος, ψωμός. ἀπὸ τοῦ μάσσω τὸ μαλάσσω γίνεται τροπῇ Δωρικῇ τῶν δύο σσ εἰς ζ· ἢ παρὰ τὸ μῶ τὸ ζητῶ, γίνεται μάζα, ἡ ζητουμένη τροφή. λέγεται δὲ μάζα, φύραμα γινόμενον, ποτὲ μὲν, ἐξ ὕδατος, ποτὲ δὲ, ἐξ ὀξυκράτου, ἢ ὀξυμέλιτος, ἢ ὑδρομέλιτος· ἔστι γὰρ τρόφιμον. ἀμολγαίην δὲ, τουτέστι κρατίστην, ἀκμαίαν· τὸ γὰρ ἀμολγὸν, ἐπὶ τοῦ ἀκμαίου τίθεται. Ἐρατοσθένης δὲ ποιμενικήν.

Μαζονομεῖον, ἀγγεῖον ἐν ᾧ ἡ μάζα φυρᾶται· ἢ ξύλινον πινάκιον καὶ κανοῦν.

Μαθητής, ἀπὸ τοῦ ἔμαθον δευτέρου ἀορίστου.

Μακάριος] ἀπὸ τοῦ κὴρ τοῦ σημαίνοντος τὴν θανατηφόρον μοῖραν, γίνεται κατὰ παραγωγὴν κήριος, ὁ τῇ φθορᾷ ὑποπεπτωκώς· καὶ μετὰ τοῦ στερητικοῦ α, ἀκήριος, ὁ ἐστερημένος τῆς φθορᾶς· καὶ τροπῇ τοῦ η εἰς α, καὶ πλεονασμῷ τοῦ μ, μακάριος. πλεονάζει δὲ τὸ μ ἐν πολλαῖς λέξεσιν, ὡς ἐν τῷ μία, καὶ μεστός, καὶ ἄλευρον μάλευρον. μακάριος οὖν ὁ μὴ κηρὶ (τουτέστι φθορᾷ) ὑποκείμενος. ἔστι δὲ εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι ἐπιθέτου· καὶ λαμβάνεται ἀπὸ ψυχῆς.

Μάκαρ, πόσας εὐθείας ἔχει; τρεῖς. μακάριος, ἀποκοπῇ τῶν δύο συλλαβῶν, γίνεται μάκαρ· καὶ μένοντος τοῦ ς, γίνεται μάκαρς. μάκαρες, οἱ μὴ πεπτωκότες ὑπὸ κῆρα· οἱ δὲ μακαρῖται, οἱ ἀποθανόντες, οἱ ἤδη τὸ μῆκος ἐπιλαμβανόμενοι, οἱ μήκιστοι· ὅθεν καὶ μακραίων, ὁ τύμβος ὁ ἐς μακράν.

Μακάρτατος. Ἰστέον ὅτι τὰ συγκριτικὰ σχηματίζονται ἀπὸ τῶν ληγόντων εἰς ων, ἢ εἰς ας, ἢ εἰς υς, ἢ εἰς ους· καὶ ταῦτα, ἐὰν φυλάττῃ τριγένειαν. διόπερ μεμπτέον Σώφρονα λέγοντα, Φωροτάτους ἀεὶ καπήλους παρέχεται: — οὐδὲ γὰρ τὰ εἰς ω λήγοντα ῥήματα παρασχηματίζει συγκριτικὸν καὶ ὑπερθετικόν. ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες μακάρτατος. τὸ μέντοι φέρτερος φέρτατος, 574
βέλτερος βέλτατος, ὕστερος ὕστατος, οὐκ οἴονται εἶναι συγκριτικὰ ἢ ὑπερθετικά, συμπεπτωκέναι δὲ τοῖς συγκριτικοῖς. ὁμοίως δὲ καὶ τὸ πρότερος. εἰ γὰρ ἀπὸ τοῦ πρῶτος, ὤφειλε διὰ τοῦ ω μεγάλου γράφεσθαι.

Μάκαιρα, ἀπὸ μάχης. ὁ δὲ Ἴων, καθ' ὁμοιότητα ἀπὸ τοῦ εἴκειν καὶ ὑποχωρεῖν· δειλὸν γάρ. μάκαιρον οὖν ἡ μαχαρία.

Μάκελλα, ἡ μὴ κέλλουσα τοῖς ὀδοῦσι.

Μακκοᾶν, τὸ ἀνοηταίνειν καὶ μωραίνειν. παρὰ τὸ μὴ καὶ τὸ κοῶ τὸ νοῶ, μηκοῶ· καὶ κατὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι ἡ ἐπείσοδος τῶν συμφώνων τροπὴν ποιεῖ, ὡς ἥδω ἁνδάνω, ἐπεισῆλθε τὸ κ, καὶ ἐτράπη τὸ η εἰς α. ἢ ὅτι Ἀκκὼ γυνὴ γέγονεν, ἐπὶ μωρίᾳ διαβαλλομένη· ἣν φασὶν ἐνοπτριζομένην, τῇ εἰκόνι ὡς ἑτέρᾳ διαλέγεσθαι. Ἀκκὼ οὖν ἀκκοῶ· καὶ πλεονασμῷ, μακκοῶ.

Μακρύνω, παρὰ τὸ μακρός· τοῦτο ἐκ τοῦ μῆκος μηκερός· καὶ συγκοπῇ, μηκρός καὶ μακρός. ἅμα γὰρ τῷ πλεονασμῷ τοῦ συμφώνου ἐτράπη τὸ μακρὸν εἰς βραχύ. ἐτυμολογεῖται παρὰ τὸ μέχρις ἄκρου διήκειν, τουτέστιν ἀρχῆς. τὸ θηλυκὸν μακρά· ἐξ οὗ γίνεται μακράν, ἐπίῤῥημα τοπικὸν, ἢ μεσότητος. τὸ δὲ — μακρὰ βιβῶντα: — ἔστιν ἐπίῤῥημα μεσότητος, ἀντὶ τοῦ μεγάλως. τὸ δὲ μακρόθεν, ἐπίῤῥημα τοπικόν.

* Μαλακογνώμων, ὁ τὴν γνώμην μαλακὴν ἔχων.

* Μάντις, ἀπὸ τοῦ μαίνεσθαι· ἐνθουσιασμένοι γὰρ οἱ μάντεις ἐμαντεύοντο.

* Μαριλάδης, ὁ ἀνθρακεύς· ἀπὸ τῆς μαρίλης, τοῦ σποδοῦ.

Μέγα, σημαίνει τρία· τὸ πολύ, ὡς τὸ, Νῦν δ' ἐμεῖο μέγ' ἐπέγρετο: — σημαίνει καὶ τὸ μεγάλως, ὡς τὸ, Ἦ κε μέγ' οἰμώξειε γέρων: — σημαίνει καὶ τὸ ἐπίμηκες, ὡς τὸ, — μέγα τόξον ἔτεινεν.

Μέγας, σημαίνει δύο· τὸ κύριον ὄνομα, ὡς τὸ, Καὶ Πέριμον Μεγάδην: — σημαίνει καὶ τὸν πλατὺν καὶ μέγαν, ὡς τὸ, Οἷ ἑ μέγαν περ ἐόντα: — καὶ, — ἠΰς τε μέγας τε: — γίνεται παρὰ τὸ μὴ ἀπαγορευτικὸν, καὶ τὸ γῆ, μέγας τὶς ὤν, ὁ μὴ ἀεὶ ἐν τῇ γῇ ὢν, ἀλλ' ὑπερέχων αὐτῆς, καὶ εἰς ὕψος ἐπαιρόμενος.

Μεγακήτεα πόντον, τὸν μεγάλα κήτη ἔχοντα· ἢ ἁπλῶς μέγαν· παρὰ τὸ κῆτος. Μεγακήτει νηΐ, μεγάλῃ, παρὰ τὸ κῆτος· ἢ μέγα κύτος ἐχούσῃ, ὅ ἐστι πλατείᾳ.

Μεγαλοπρέπεια, ἐκ τοῦ μεγαλοπρεπής· τοῦτο παρὰ τὸ μεγάλως καὶ τὸ πρέπω γίνεται ἐν συνθέσει.